Τροπάριο που ψάλλεται στο τέλος του εσπερινού ή του όρθρου, κατα την απόλυση δηλαδή της σχετικής ακολουθίας.Υπάρχουν τα απολυτίκια των οκτώ ήχων,που ψάλλονται κατά τους εσπερινούς και τους όρθρους των Κυριακών,αλλά υπάρχουν και απολυτίκια των δεσποτικών και θεομητορικών εορτών,καθώς και των εορτών των αγίων.

Τα απολυτίκια είναι αρχαιότατοι ύμνοι,που παρουσίαζαν με συντομία το περιεχόμενο της εορτής,όπως λ.χ. το "Χριστός ἀνέστη...". Η γραμματική προέλευση του όρου δεν έχει ακόμη εξακριβωθεί.Η υπόθεση ότι προέρχεται από τό επίθετο "απολυτίκιος"(ύμνος) είναι πιθανή,αλλά δεν επιβεβαιώνεται από τη χειρόγραφη παράδοση.

16.- Λοιποί όροι.

Μια μεγάλη σειρά υμνολογικών όρων οφείλει την προέλευσή της σε λέξεις ή φράσεις βιβλικών στίχων,που προηγούνται των τροπαρίων. 'Ετσι έχουμε τα "Ευλογητάρια " ,από το στίχο "Εὐλογητός εἶ,Κύριε", τα " Ανοιξαντάρια " από το στίχο "ἀνοίξαντός σου τήν χεῖρα..." τοῦ ργ'(103) ψαλμού,τα"κεκραγάρια",από το "Κύριε ἐκέκραξα...),τα "πασαπνοάρια " από το "Πᾶσα πνοή " κλπ.

"Μεγαλυνάρια" ονομάζονται συνήθως σύντομα τροπάρια,που συμψάλλονται με τα τροπάρια της θ'ωδής των κανόνων μεγάλων δεσποτικών και θεομητορικών εορτών.Τα τροπάρια αυτά αρχίζουν συνήθως με τη φράση "Μεγάλυνον,ψυχή μου" ,από την οποία προήλθε και ο όρος "μεγαλυνάρια".Ιδού χαρακτηριστικά μεγαλυνάρια του Πάσχα και των Χριστουγέννων :

Μεγάλυνον,ψυχή μου,τόν ἐξαναστάντα
τριήμερον ἐκ τάφου,Χριστόν τόν ζωοδότην.

Μεγάλυνον,ψυχή μου,τόν ἐν τῷ σπηλαίῳ
τεχθέντα βασιλέα.

Μεγάλυνον,ψυχή μου,τήν τιμιωτέραν
καί ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

"Στιχηρά " ονομάζονται γενικά τα τροπάρια των οποίων προηγούνται ψαλμικοί στίχοι.Τα στιχηρά τροπάρια του 'Ορθρου λέγονται "αίνοι" (στιχηρά των αίνων),γιατί προηγούνται οι στίχοι" Πᾶσα πνοή αἰνεσάτω τόν Κύριον,αἰνεῖτε τόν Κύριον ἐκ τῶν οὐρανῶν...". Τα στιχηρά του εσπερινού ονομάζονται εσπέρια (στιχηρά).'Αλλα στιχηρά στο τέλος των ακολουθιών εσπερινού και όρθρου ονομάζονται "απόστιχα" (από στίχου).

17.- Ο Επιτάφιος Θρήνος.

Ιδιαίτερα μελωδικά και συγκινητικά είναι τα σύντομα τροπάρια που ψάλλονται το εσπέρας της Μ.Παρασκευής (= στον 'Ορθρο του Μ. Σαββάτου) μετά την θ'ωδή του Κανόνα και πριν από τα Ευλογητάρια. Είναι οργανωμένα σε τρεις στάσεις ,που αρχίζουν :

α'στάση : Ἡ ζωή ἐν τάφῳ κατετέθης,Χριστέ,
καί ἀγγέλων στρατιαί ἐξεπλήττοντο,
συγκατάβασιν δοξάζουσαι τήν σήν.

β'στάση Ἄξιόν ἐστι μεγαλύνειν σε τόν ζωοδότην,
τόν ἐν τῷ σταυρῷ τάς χεῖρας ἐκτείναντα
καί συντρίψαντα τό κράτος τοῦ ἐχθροῦ.

γ'στάση Αἱ γενεαί πᾶσαι ὕμνον τῇ ταφῇ σου
προσφέρουσι,Χριστέ μου.

Τα τροπάρια αυτά ονομάζονται Επιτάφιος Θρήνος ,καθώς αναφέρονται στην ταφή του Κυρίου.Υμνολογούν το θείο πάθος και προεξαγγέλλουν την ανάσταση,γι'αυτό και το εγκωμιαστικό στοιχείο είναι ιδιαίτερα πλούσιο.Συνήθως ονομάζονται και εγκώμια,μολονότι πολλοί μελετητές απορρίπτουν αυτόν τον όρο,γιατί εγκώμια απευθύνονται μόνο στους ανθρώπους,όχι στον Θεό,στον οποίο απευθύνονται ύμνοι.

Ο Ν.Β.Τωμαδάκης (Βυζαντινή Υμνογραφία και ποίησις,σ.78) παρατηρεί : " Από απόψεως πρωτοτυπίας,είναι αμφίβολον αν τα εγκώμια είναι τι άλλο από απηχήσεις προγενεστέρας υμνογραφίας.Συνήθως όμως η επιλογή των λεηλατουμένων ενδόξων συγγραφέων έγινε μετά τοσαύτης τέχνης και τοιαύτης αισθήσεως,ώστε κατέστησε τα εγκώμια είδος τι λειμωναρίου ή ανθολογίου ποιητικού,γέμοντος ωραίων εικόνων,μεγαληγορίας,συγκινητικών εκφράσεων,προκαλούντος δε την άφατον θλίψιν του πιστού επί τη προσκαίρω δύσει του μη δύοντος ηλίου ή απωλεία του γλυκέος έαρος της Ζωής,του φωτός των οφθαλμών της Παρθένου.'Αγγελοι,άνθρωποι,προφήται,πτηνά,ευγενή ζώα,αστέρες και η άλλη άψυχος φύσις.ουράνια και επίγεια συμπονούν επί τω θανάτω,συγκλονίζονται επί τω φρικτώ θεάματι του ενταφιασμού της Ζωής. Αλλ'ο Θεός ο ών η Ζωή και η Ανάστασις μέλλει να εγερθή ταχέως και αι Μυροφόροι γυναίκες προχωρούν ήδη προς το μνήμα,του οποίου τον λίθον θα αποκυλίση ο 'Αγγελος.Ο Ελληνισμός ,ο από παναρχαίων χρόνων θρηνήσας την νεότητα του Αδώνιδος,εύρε κατά την ελληνίζουσαν παλιολόγειον περίοδον εαυτόν εις την επιτάφιον αυτήν ακολουθίαν του χειμώνος,ψαλλομένην κατά τον ουδόν της ανοίξεως.Τούτο ερμηνεύει διατί ανθρωπίνως η συγκίνησις των μαζών είναι μεγάλη και η ψυχική συμμετοχή πλήρης κατά την τελετήν της κηδείας του Ιησού. 'Ανθρωπος και αυτός,νέος και ωραίος υπέρ πάντας βροτούς,εδοκίμασε την αναπόφευκτον μοίραν του θανάτου.Αλλ'αυτός έδωκεν εις ημάς και την ελπίδα της Αναστάσεως,την οποίαν ανθρωπίνως ημείς δεν ηδυνάμεθα να έχωμεν.Ούτως επεστρέψαμεν εις την ψυχολογίαν των εις το πάθος ύμνων Ρωμανού του Μελωδού,προ πολλού εκβληθέντων εκ των ακολουθιών.'Αλλωστε τα απηχήματα του ρωμανικού θρήνου δεν είναι σπάνια εις τα εγκώμια ".

Τα εγκώμια του Επιταφίου είναι ίσως και το τελευταίο υμνογραφικό είδος,που δημιουργήθηκε στο Βυζάντιο.Πότε ακριβώς και από ποιούς συντέθηκαν δεν είναι ακριβώς γνωστό.Οι μελετητές πιστεύουν ότι εμφανίστηκαν τον 13ο αιώνα.Σε Τυπικό των Ιεροσολύμων του 1122 δεν υπάρχουν,ενώ έχουμε σαφείς ενδείξεις για τη χρήση τους στα μέσα του 14ου αιώνα.

Προσωπικά πιστεύω ότι είναι πολύ παλαιότερα από όσο δέχονται οι μελετητές.Ο μητροπολίτης Ρόδου Νείλος (ιδ'αιώνας),στον οποίο ο Σωφρόνιος Ευστρατιάδης αποδίδει την εύρεση του είδους,είναι απλώς ένας από τους πολλούς μιμητές.Στα χειρόγραφα υπάρχουν πολλές ανώνυμες συλλογές,που περιέχουν εκατοντάδες τροπάρια πολύ διαφορετικά από τα γνωστά σε χρήση στα λειτουργικά βιβλία,όμοια όμως λειτουργικά και μουσικά. Το γεγονός εντούτοις ότι ο Ιάκωβος αρχιεπίσκοπος Βουλγαρίας Ιάκωβος (ιγ'αιώνας) συνέθεσε εγκώμια στην Κοίμηση της Θεοτόκου,προσόμοια προς το"'Η Ζωή έν τάφω..." είναι σαφέστατη ένδειξη ότι το είδος μπορεί να ανάγεται στον 12ο αιώνα.Μια συστηματική έρευνα στα χειρόγραφα ίσως οδηγήσει στη λύση του προβλήματος.

ΒΙΒΛΙΟΓΡΑΦΙΑ : W.CHRIST-M.PARANIKAS,Anthologia Graeca Carminum Christianorum,Lipsiae 1871 (αναστατική επανέκδοση Hildesheim 1963).Π.ΤΡΕΜΠΕΛΑ,Εκλογή Ελληνικής Ορθοδόξου Υμνογραφίας,Αθήναι 1949.Ν.Β.ΤΩΜΑΔΑΚΗ,Η βυζαντινή Υμνογραφία και Ποίησις,ήτοι Εισαγωγή εις την Βυζαντινήν Φιλολογίαν,τ.Β',Αθήναι 1965[3].J.B.PITRA, Hymnographie de l' Eglise Byzantine,Rome 1867. E.WELLESZ,A History of Byzantine Music and Hymnography, Oxford 1980[2]. J.SZÖVERFFY,A Guide to Byzantine Hymnography,Leyden ,1978.II,1979 .Α.ΠΑΠΑΔΟΠΟΥΛΟΥ,Λειτουργικοί όροι, " Αθηνά " Μ',1928,σσ. 60-87. ΘΗΕ, passim.

Α Ν Θ Ο Λ Ο Γ Ι Α

ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΠΟΙΗΣΕΩΣ ΚΑΙ ΥΜΝΟΓΡΑΦΙΑΣ

Α΄

ΘΡΗΣΚΕΥΤΙΚΗ ΠΟΙΗΣΗ

1. ΚΛΗΜΗΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ (+ πρίν άπό τό 215 μ.Χ.)

I

Ὕμνος " εἰς τόν Παιδαγωγόν"

Σοί τόνδε κἀγώ,παιδαγωγέ,προσφέρω
λόγοισι πλέξας στέφανον ἐξ ἀκηράτου
λειμῶνος,ἡμῖν οὗ παρέσχου τάς νομάς,
ὡς ἐργάτις μέλιττα χωρίων ἄπο
βλάστην τρυγῶσα,χρηστόν ἐκ σίμβλων πόνον,
κηρόν δίδωσι τόν γλυκύν τῷ προστάτῃ.
Εἰ καί βραχύς δ'ἐγώ τις,οἰκέτης γε σός·
δεῖ γάρ σε τοῖς σοῖς εὐλογεῖν θεσπίσμασιν·
ἄναξ βροτῶν μέγιστε,τῶν καλῶν δοτήρ,
ἐσθλῶν χορηγέ καί τό πᾶν κτίσας ,πάτερ,
ὅς οὐρανόν τε καί τόν οὐρανοῦ μόνος
κόσμον τέθεικας,ἁρμόσας θείῳ λόγῳ·
ἔδειξας αὐτός ἡμέραν τε καί φάος
καί τόν πολοῦσιν ἄστρα νημερτῆ δρόμον,
εἰπών θ΄, ὅποι γῆ καί θάλασσα προσμένοι,
τροπῶν τε καιρόν εὐστόχως δήσας κύκλῳ,
ἔαρ τε καί χειμῶνα καί θέρος πάλιν
τοῦ τε μετοπώρου τάξιν ἐξηρτισμένην,
ὅλον τε κόσμον ἐξ ἀκοσμίας κτίσας
ὕλης ἀμόρφου καί τό πᾶν κατήρτισας,
αὐτός ζοήν τε καί καλῶς ἀεί βιοῦν
χάριν τε τήν σήν ἀσφαλῶς πάρασχέ μοι
ποιεῖν τε τάς σάς καί λέγειν θείας γραφάς,
αἰνεῖν ἀεί σέ καί τόν ἐκ σοῦ πάνσοφον,
τόν σοί συνόντα καί παρόντα σοί λόγον.
Μή μοι δέ πενίαν μηδέ μήν πλοῦτον δίδου,
τάξιν δέ τοῦ δέοντος αὐταρκεστάτην,
πάτερ,παράσχου καί καλόν βίου τέλος.

(Κατά τήν ἔκδοση : O t t o S t ä h l i n ,Clemens Alexandrinus.I. Protrepticus und Paedagogus,Berlin 1972[3],339-340).

II

Ὕμνος τῶν παίδων

Στόμιον πώλων ἀδαῶν,
πτερόν ὀρνίθων ἀπλανῶν,
οἴαξ νηῶν ἀτρεκής,
ποιμήν ἀρνῶν βασιλικῶν·
τούς σούς ἀφελεῖς
παῖδας ἄγειρον,
αἰνεῖν ἁγίως,
ὑμνεῖν ἀδόλως
ἀκάκοις στόμασιν
παίδων ἡγήτορα Χριστόν.
Βασιλεῦ ἁγίων,
λόγε πανδαμάτωρ
πατρός ὑψίστου,
σοφίας πρύτανι,
στήριγμα πόνων
αἰωνοχαρές,
βροτέας γενεᾶς
σῶτερ Ἰησοῦ,
ποιμήν,ἀροτήρ,
οἴαξ,στόμιον,
πτερόν οὐράνιον
παναγοῦς ποίμνης,
ἁλιεῦ μερόπων
τῶν σῳζομένων
πελάγους κακίας,
ἰχθῦς ἁγνούς
κύματος ἐχθροῦ
γλυκερῇ ζωῇ δελεάζων.
Προβάτων λογικῶν
ποιμήν ἅγιε,
ἡγοῦ,βασιλεῦ,
παίδων ἀνεπάφων·
ἴχνια Χριστοῦ
ὁδός οὐρανία.

Λόγος ἀέναος,
αἰών ἄπλετος,

φῶς ἀίδιον,
ἐλέους πηγή,
ῥεκτήρ ἀρετῆς,
σεμνῇ βιοτῇ
θεόν ὑμνούντων.
Χριστέ Ἰησοῦ,
γάλα οὐράνιον
μαστῶν γλυκερῶν
νύμφης χαρίτων
σοφίας τῆς σῆς,
ἐκθλιβόμενον.
Οἱ νηπίαχοι
ἀταλοῖς στόμασιν
ἀτιταλλόμενοι,
θηλῆς λογικῆς
πνεύματι δροσερῷ
ἐμπιπλάμενοι,
αἴνους ἀφελεῖς,
ὕμνους ἀτρεκεῖς
βασιλεῖ Χριστῷ,
μισθούς ὁσίους
ζωῆς διδαχῆς,
μέλπωμεν ὁμοῦ.
Πέμπωμεν ἁπλῶς
παῖδα κρατερόν,
χορός εἰρήνης
οἱ χριστόγονοι,
λαός σώφρων,
ψάλλωμεν ὁμοῦ
θεόν εἰρήνης.

(Κατά τήν ἔκδοση: C l. M o n d é s e r t - C h. M a t r a y- H.I.M a r r o u, Clément d' Alaxandrie,Le Pédagogue.III.Paris 1970 (= Sources Chrétiennes,No 158), pp.192-203).

2. ΓΝΩΣΤΙΚΗ ΠΟΙΗΣΗ

Ψαλμός τῶν Νaασσηνῶν

Νόμος ἦν γενικός τοῦ παντός ὁ πρώτιστος νόος·
τό δέ δεύτερον ἦν τοῦ πρωτοτόκου τό χυθέν χάος.
Τριτάτη δ'ἔλαχεν ἐργαζόμενον ψυχή νόμον·
διά τοῦτ' ἐλαφρόν μορφάν περικειμένη
κοπιᾷ θανάτῳ μελέτημα κρατουμένη·
ποτέ μέν βασιλείαν ἔχουσα βλέπει τό φῶς,
ποτέ δ'εἰς ἔλεον ἐρριμμένη κλάει·
ποτέ δέ χαίρει,ποτέ δέ κρίνεται·
ποτέ δέ θνήσκει,ποτέ δέ γίνεται.
Ἀνέξοδον ἡ μελέα κακῶν
λαβύρινθον ἐσῆλθε πλανωμένη·
εἶπεν δ' Ἰησοῦς· ἐσόρα,πάτερ,
ἄθλημα κακῶν τόδ'ἐπί χθόνα
ἀπό σῆς πνοιῆς ἀποπλάζεται·
ζητεῖ δέ φυγεῖν τό πικρόν χάος,
κοὐκ οἶδεν ὅπως διελεύσεται·
τούτου με χάριν πέμψον,πάτερ·
σφραγῖδας ἔχων καταβήσομαι,
αἰῶνας ὅλους διοδεύσω,
μυστήρια πάντα δ'ἀνοίξω,
μορφάς δέ θεῶν ἐπιδείξω·
τά κρυπτά τε τῆς ἁγίας ὁδοῦ,
γνῶσιν καλέσας,παραδώσω.

(Κατά τήν ἔκδοση : W. C h r i s t - M. P a r a n i k a s, Anthologia Graeca Carminum Christianorum,Lipsiae 1871,32-33).

3.ΜΕΘΟΔΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΟΛΥΜΠΟΥ, ΠΑΡΘΕΝΙΟΝ

Ἀποσπάσματα

Ὑπακοή Ἁγνεύω σοι καί λαμπάδας φαεσφόρους
κρατοῦσα,νυμφίε,ὑπαντάνω σοι.

Ψαλμός Ἄνωθεν,παρθένοι,βοῆς
ἐγερσίνεκρος ἦχος ἦλθε νυμφίῳ λέγων
πασσυδί ὑπαντάνειν λευκαῖσιν ἐν στολαῖς
καί λαμπάσι πρός ἀντολάς˙ἔγρεσθε πρίν φθάση
μολεῖν εἴσω θυρῶν ἄναξ.
Ἁγνεύω σοι καί λαμπάδας φαεσφόρους
κρατοῦσα,νυμφίε,ὑπαντάνω σοι.

Βροτῶν πολυστένακτον ὄλβον ἐκφυγοῦσα καί
βίου τρυφῆς ἀδονᾶς τ'ἔρωτα σαῖς ὑπ'ἀγκάλαις
ζωηφόροις ποθῶ σκέπεσθαι καί βλέπειν τό σόν
κάλλος διηνεκῶς,μάκαρ.
Ἁγνεύω σοι.......

Γάμων λιποῦσα θνητά λέκτρα καί δόμον,
ἄναξ,διά σέ πολύχρυσον,ἦλθον ἀσπίλοις
ἐν εἵμασιν,ὅπως φθάσω κἀγώ πανολβίων
θαλάμων εἴσω σύν σοί μολεῖν.
Ἁγνεύω σοι.......

....

Ἐλαθόμην πάτρας ποθοῦσα σήν χάριν,Λόγε,
ἐλαθόμην τε παρθένων ὁμηλίκων χορούς
μητρός τε καί γένους φρύαγμα˙πάντα γάρ σύ μοι
αὐτός σύ,Χριστέ,τυγχάνεις.
Ἁγνεύω σοι....

Ὕμνοις,μάκαιρα θεόνυμφε,θαλαμηπόλοι
αἱ σαί γεραίρομέν σε νῦν,ἄθικτε παρθένε,
Ἐκκλησία χιονόσωμε,κυανοβόστρυχε,
σῶφρον,ἄμωμ', ἐρασμία.
Ἁγνεύω σοι....

Ὦ τάς ἀχράντους οὐρανοῦ,μάκαρ,ναίων ἕδρας,
ἄναρχε,πάντα συγκροτῶν αἰωνίῳ κράτει,
δέξαι σύν παιδί σῷ,πάρεσμεν,ἔνδον εἰς ζωῆς
πύλας,πάτερ καί ἡμέας.
Ἁγνεύω σοι...

(Κατά τήν ἔκδοση H. M u s u r i l l o, Méthode d'Olympe, Le Banquet,Paris 1963,(= SC 95),310-320).

4. ΑΠΟΛΛΙΝΑΡΙΟΣ ΛΑΟΔΙΚΕΙΑΣ (περίπου 310-390)

Παράφραση τοῦ Α'ψαλμοῦ

Ὄλβιος οὐ πεπόρευται δυσσεβέων ἐνί βουλῇ
οὐδ'ἴχνος ἐστήριξεν ἀλιτροτάτοισι κελεύθοις
οὐδ'ὀλοῆς ἕδρησιν ἐφίζετο λυμαντήρων,
ἀλλ'ἔχεν ἠιθέῳ κραδίην συμφράδμονα θεσμῷ,
θεσπέσιον νύκτας τε καί ἤματα θεσμόν ἀείδων.
Ἔσσεται οἷάπερ ἔρνος ἐφ'ὑδρηλοῖσι κελεύθοις,
καίριον ἀντέλλον σφέτερον μελιηδέα καρπόν,
νωλεμέως φύλλοισιν ἀκειρεκόμοισι τεθηλός.
Πάντα οἱ ἰθύνοιτο κατά χρέος ὅσσα τελέσσει.
Οὐ τοῖοι γεγάασιν ἀτάσθαλοι,οὔποτε τοῖοι.
Ἀλλά κόνει ἴκελοι,τήν ῥα χθονός ὦλεσ'ἀήτης.
Τοὔνεκεν εἰς κρίσιν οὐδέποτ'ἀνστήσονται ἀλεῖται,
οὐδ'ἄρ'ἁμαρτίνοοι πινυτῶν βουλῇσι δικαίων.
Οὕνεκεν εὐαγέων βασιλεύς πάτον οἶδε δικαίων.
Τοὔνεκα δυστήνων γενεή προθέλυμνος ὀλεῖται.

Τό πρωτότυπο κατά τή Μετάφραση τῶν Ο' :

1. Μακάριος ἀνήρ,ὅς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν
καί ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη
καί ἐπί καθέδραν λοιμῶν οὐκ ἐκάθισεν,
2 ἀλλ'ἤ ἐν τῷ νόμῳ Κυρίου τό θέλημα αὐτοῦ,
καί ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καί νυκτός
3 καί ἔσται ὡς τό ξύλον τό πεφυτευμένον παρά τάς
διεξόδους τῶν ὑδάτων,
ὅ τόν καρπόν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ
καί τό φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται
καί πάντα,ὅσα ἄν ποιῇ,κατευοδωθήσεται.
4 Οὐχ οὕτως οἱ ἀσεβεῖς,οὐχ οὕτως,
ἀλλ'ἤ ὡς ὁ χνοῦς,ὅν ἐκριπτεῖ ὁ ἄνεμος
ἀπό προσώπου τῆς γῆς.
5 Διά τοῦτο οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει
οὐδέ ἁμαρτωλοί ἐν βουλῇ δικαίων˙
6 ὅτι γινώσκει Κύριος ὁδόν δικαίων,
καί ὁδός ἀσεβῶν ἀπολεῖται.

(Τό κείμενο τῆς παράφρασης τοῦ Ἀπολλιναρίου κατά τήν ἔκδοση: A. L u d w i c h ,Apolinarii metaphrasis psalmorum,Lipsiae 1912).

5. ΝΟΝΝΟΣ Ο ΠΑΝΟΠΟΛΙΤΗΣ (περί τό 400 μ.Χ.)

Παράφραση τοῦ Κατά 'Ιωάννην Εὐαγγελίου
('Απόσπασμα, 'Ιωάνν. 20,19-29)

Καί σκιερήν ὅτε γαῖαν ὅλην ἐμέλαινεν ὁμίχλη,
ἀκλινέες δέ θύρετρα συνεκλήισαν ὀχῆες,
ὁππόθι φωλεύοντες ἐναυλίζοντο μαθηταί,
ὡς πτερόν ἠέ νόημα μετάρσιος εἰς μέσον ἔστη
μιτρωθείς ἑτάροισι καί ἔννεπε· Σύννομος ὑμῖν
εἰρήνη.Καί ἄελπτον ἔπος βραχύ τοῦτο βοήσας,
δεῖξε πόδας καί χεῖρας ὁμηγερέεσσι μαθηταῖς
ἡλοτύπους,πλευρήν τε νεούτατον ὀψιφανῆ δέ
κοίρανον ἀθρήσαντες ἐγήθεον αὖθις ἑταῖροι.
Καί σφιν "Αναξ ἀγόρευε τό δεύτερον ὀξέϊ μύθῳ·
Εἰρήνη πάλιν ὔμμι καί ὡς τετράζυγι κόσμῳ
πέμψεν ἐμός γενέτης με,καί ὑμέας αὐτό ἰάλλω.
Εἶπε καί ἀμβροσίων στομάτων φύσημα τιταίνων,
χεῖλος ἀναπτύξας βιοτήσιον,εἶπε μαθηταῖς·
'Αγνόν πνεῦμα δέχεσθε·καί ὧν μερόπων ἐνί γαίῃ
δυσσεβίην ἀφέητε,βιοπλανές ἄχθος ἀνάγκης,
ἀμπλακίης ἄμνηστος ἐπουρανίη λύσις ἔσται·
ὧν δέ πάλιν κρατέοιτε βροτῶν ἀλιτήριον ἄτην,
ἔργα βίου σφαλεροῖο μένει πεπεδημένα δεσμῷ ...

'Ιδού καί ἡ σχετική εὐαγγελική περικοπή :
" Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων,καί τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταί συνηγμένοι διά τόν φόβον τῶν 'Ιουδαίων,ἦλθεν ὁ 'Ιησοῦς καί ἔστη εἰς τό μέσον καί λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.Καί τοῦτο εἰπών ἔδειξεν αὐτοῖς τάς χεῖρας καί τήν πλευράν αὐτοῦ.'Εχάρησαν οὖν οἱ μαθηταί ἰδόντες τόν Κύριον.Εἶπεν οὖν αὐτοῖς ὁ 'Ιησοῦς πάλιν· Εἰρήνη ὑμῖν·καθώς ἀπέσταλκέ με ὁ πατήρ,κἀγώ πέμπω ὑμᾶς.Καί τοῦτο εἰπών ἐνεφύσησε καί λέγει αὐτοῖς· Λάβετε Πνεῦμα "Αγιον."Αν τινων ἀφῆτε τάς ἁμαρτίας,ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται...".

6 .- ΓΡΗΓΟΡΙΟΣ Ο ΝΑΖΙΑΝΖΗΝΟΣ (329/30-390)

1
"Υμνος εἰς Θεόν

"Ω πάντων ἐπέκεινα· τί γάρ θέμις ἄλλο σε μέλπειν;
πῶς λόγος ὑμνήσει σε; σύ γάρ λόγῳ οὐδενί ῥητός.
Πῶς νόος ἀθρήσει σε ; σύ γάρ νόῳ οὐδενί ληπτός,
μοῦνος ἐών ἄφραστος,ἐπεί τέκες ὅσσα λαλεῖται,
μοῦνος ἐών ἄγνωστος,ἐπεί τέκες ὅσσα νοεῖται.
Πάντα σε καί νοέοντα καί μή νοέοντα γεραίρει
ξυνοί γάρ τε πόθοι,ξυναί δ'ὠδῖνες ἁπάντων
ἀμφί σε,σοί δέ τά πάντα προσεύχεται·εἰς σέ δέ πάντα
σύνθεμα σόν νοέοντα λαλεῖ σιγώμενον ὕμνον.
Σοί ἕνι πάντα μένει· σύ δ'ἀθρόα πάντα θεάζεις
καί πάντων τέλος ἐσσί,καί εἷς καί πάντα καί οὐδείς,
οὐχ ἕν ἐών,ού πάντα·πανώνυμε,πῶς σε καλέσω
τόν μόνον ἀκλήϊστον,ὑπερνεφέας δέ καλύπτρας
τίς νόος οὐρανίδης εἰσδύσεται; ἵλαος εἴης·
ὦ πάντων ἐπέκεινα,τί γάρ θέμις ἄλλο σε μέλπειν;

("Επη Θεολογικά ΚΘ', Migne,PG 37,507)

2
"Υμνος εἰς Χριστόν
μετά τήν σιωπήν ἐν τῷ Πάσχα

Χριστέ ἄναξ,σέ πρῶτον,ἐπεί λόγον ἠέρι δῶκα,
δηναιόν κατέχων,φθέγξομ'ἀπό στομάτων,
ἁγνοτάτου ἱερῆος ἁγνόν θύος,εἰ θέμις εἰπεῖν,
τόνδε λόγον προχέων ἡμετέροιο νόου.
Πατροφανές μεγάλοιο νόου λόγε,φέρτερε μύθου,
φωτός ἀκροτάτου φῶς ἄκρον,οἰόγονε,
εἰκών ἀθανάτοιο πατρός καί σφρηγίς ἀνάρχου,
πνεύματι τῷ μεγάλῳ συμφαές,εὐρυμέδον,
αἰῶνος πείρημα,μεγακλεές,ὀλβιόδωρε,
ὑψίθρον',οὐράνιε,πανσθενές ἄσθμα νόου,
νωμητά κόσμοιο,φερέσβιε,δημιοεργέ
ὄντων,ἐσσομένων· σοί γάρ ἅπαντα πέλει,
ὅς κόσμοιο θέμεθλα,καί ὁπόσσα ἐστί,θέλοντος
δησάμενος φορέεις νεύμασιν ἀπλανέως.

15 Σοί μέν,ἄναξ,Φαέθων ὑψίδρομος ἄστρα καλύπτει,
κύκλον ὑπερτέλλων ἔμπυρον,ὡς σύ νόας,
σοί ζώει φθινύθει τε ἀμοιβαδίς ὄμμα τό νυκτός,
μήνη πλησιφαής αὖθις ἐπερχομένη.
Σοί δέ ζωοφόρος τε κύκλος καί μέτρα χορείης
20 ὥραις μέτρα φέρει ἤπια κιρναμέναις,
ἀπλανέες τε πλάνοι τε παλίμπορον ἀΐσσοντες
ἀστέρες ἠγαθέης εἰσί λόγοι σοφίης...
39 Σήμερον ἐκ νεκύων Χριστός μέγας,οἷσιν ἐμίχθη,
40 ἔγρετο καί θανάτου κέντρον ἀπεσκέδασε
καί ζοφερούς πυλεῶνας ἀμειδήτου Ἀΐδαο
ῥήξατο και ψυχαῖς δῶκεν ἐλευθερίην...
49 Σήμερον ἦχον ἔπνευσα μεμυκότα χείλεα σιγῇ
50 λύσας,ἀλλά μ'ἔχεις ὑμνοπόλον κιθάρην.
Νῷ νόον ἔνδον ἔρεξα,Λόγῳ λόγον·αὐτάρ ἔπειτα
ῥέξω και μεγάλῳ πνεύματι,ἥν ἐθέλῃ .

("Επη Ἱστορικά ΛΗ',PG 37,1325)

3

Περί cῆς ἀνθρωπίνης φύσεως

Χθιζός ἐμοῖς ἀχέεσσι τετρυμένος,οἶος ἀπ'ἄλλων
ἥμην ἐν σκιερῷ ἄλσεϊ,θυμόν ἔδων.
Καί γάρ πως φιλέω τόδε φάρμακον ἐν παθέεσσιν,
αὐτός ἐμῷ θυμῷ προσλαλέειν ἀκέων.
Αὖραι δ'ἐψιθύριζον ἅμ'ὀρνιθέεσσιν ἀοιδοῖς
καλόν ἀπ'ἀκρεμόνων κῶμα χαρζόμεναι,
καί μάλα περ θυμῷ κεκαφηότι.Οἱ δ'ἀπό δένδρων
στηθομελεῖς,λιγυροί,ἠελίοιο φίλοι,
τέττιγες λαλαγεῦντες ὅλον κατεφώνεον ἄλσος.
Πάρ δ'ὕδωρ ψυχρόν ἐγγύς ἔκλυζε πόδας,
ἦκα ῥέον δροσεροῖο δι'ἄλσεος.Αὐτάρ ἔγωγε
τώς ἐχόμην κρατερῶς ἄλγεος,ὡς ἐχόμην.
Τῶν μέν ἄρ'οὐκ ἀλέγιζον,ἐπεί νόος,εὖτε πυκασθῇ
ἄλγεσιν,οὐκ ἐθέλει τέρψιος ἀντιάειν.
Αὐτός δέ στροφάλιγξιν ἑλισσομένοιο νόοιο
τοίην ἀντιπάλων δῆριν ἔχων ἐπέων:

Τίς γενόμην; τίς δ'εἰμί; τί δ'ἔσομαι; οὐ σάφα οἶδα
Οὐδέ μέν ὅστις ἐμοῦ πλειότερος σοφίην.
Ἀλλ'αὐτός νεφέλῃ κεκαλυμμένος ἔνθα καί ἔνθα
20 πλάζομαι οὐδέν ἔχων,οὐδ'ὄναρ,ὧν ποθέω.
Πάντες γάρ χθαμαλοί καί ἀλήμονες,οἷσι παχείης
σαρκός ἐπικρέμαται κυανέη νεφέλη.
Κεῖνος δ'ἐστίν ἐμεῖο σοφώτερος,ὅς πλέων ἄλλων
ἤπαφεν ἧς κραδίης ψεῦδος ἑτοιμολόγον.
25 Εἰμί.Φράζε τί τοῦτο; Τό μέν παρέθρεξεν ἐμεῖο,
ἄλλο δέ νῦν τελέθω,ἄλλ'ἔσομ',εἴ γ'ἔσομαι.
"Εμπεδον οὐδέν· ἔγωγε ῥόος θολεροῦ ποταμοῖο
αἰέν ἐπερχόμενος,ἑσταός οὐδέν ἔχων...
43 Οὐδέν ἔφυν.Τί κακοῖσι δαμάζομαι,ὥς τι πεπηγός;
Τοῦτο γάρ ἡμερίων ἄτροπόν ἐστι μόνον,'
45 συμφυές,ἀστυφέλικτον,ἀγήραον.'Εξότε κόλπων
μητρός ὀλισθήσας πρῶτον ἀφῆκα δάκρυ,
ὁσσατίοις,οἵοις τε συναντήσασθαι ἔμελλον
πήμασι,δακρυχέων πρίν βιότοιο θίγω!...
53 Ἀδρανίη,πενίη τε,τόκος ,μόρος,ἔχθος,ἀλιτροί,
θῆρες ἁλός,γαίης,ἄλγεα,πάντα βίος...
95 Τίπτ'ἀγαθόν βιότοιο;Θεοῦ φάος;'Αλλ'ἄρα καί τοῦ
εἴργει με φθονερή καί στυγερή σκοτίη...
119 "Ιλαθί μοι,βασίλεια κεδνή,Τριάς,οὐδέ σύ πάμπαν
120 γλῶσσαν ἐφημερίων ἔκφυγες ἀφραδέων .

("Επη Θεολογικά ΙΔ', PG 37, 753-765)

4

Περί ζωῆς τῆς ἀνθρωπίνης

Ὁ χοῦς,ὁ πηλός,ἡ παλίνστροφος κόνις.
Τῇ γῇ γάρ ἡ γῆ συμβιβάζεται πάλιν
καί σπαργανοῦται τῷ γεώδει σπαργάνῳ
καί χοῦς πάλιν πρόεισιν ὥσπερ ἡ κόνις,
ἥν ἡ βιαία συστροφή τῶν πνευμάτων
πρός ὕψος ἐξαίρουσα συστέλλει κάτω.
Οὕτω γάρ ἡμῶν τόν πολύστροφον βίον
αἱ τῶν πονηρῶν πνευμάτων καταιγίδες
πρός ὕψος ἐξαίρουσι καί δόξαν νόθον·

αὖθις δέ χοῦς κάτεισι καί μένει κάτω,
ἕως ὁ τοῦ κτίσαντος ἁρμόσῃ λόγος
τῶν συνδεθέντων τήν ἀναγκαίαν λύσιν.
Νῦν δέ προκύψας,ὥσπερ ἔκ τινος βάθους,
ὁ χοῦς ὁ θείᾳ πνευματωθείς εἰκόνι,
καί τάς γεώδεις ἐκβοᾷ τραγῳδίας
καί τόν γελᾶν δοκοῦντα δακρύει βίον.

(Ἔπη Ἠθικά ΙΗ',PG 37,786-787)

5

Περί τῆς αὐτῆς

Τροχός τις ἐστίν ἀστάτως πεπηγμένος
ὁ μικρός οὗτος καί πολύτροπος βίος.
Ἄνω κινεῖται καί περισπᾶται κάτω·
οὐχ ἵσταται γάρ,κἄν δοκῇ πεπηγέναι.
Φεύγων κρατεῖται,καί μένων ἀποτρέχει.
Σκιρτᾷ δέ πολλά,καί τό φεύγειν οὐκ ἔχει.
Ἕλκει,καθέλκει τῇ κινήσει τήν στάσιν.
Ὡς οὐδέν εἶναι τόν βίον διαγράφων,
ἤ καπνόν ἤ ὄνειρον ἤ ἄνθος χλόης

(Ἔπη Ἠθικά ΙΘ',PG 37,787-788)

6

Περί τῶν τοῦ βίου ὁδῶν

Τίς,πόθεν ἐς βίον ἦλθον;ἐπεί δέ με γαῖα καθέξει,
τίς πάλιν ἐκ κόνιος ἔσσομ'ἀνιστάμενος;
Πῆ δέ φέρων στήσει με θεός μέγας; ἦ ῥα σαώσει
ἔνθεν ἀναστήσας εὔδιον ἐς λιμένα;
Πολλαί μέν βιότοιο πολυτλήτοιο κέλευθοι,
ἄλλη δ'ἀλλοίοις πήμασι συμφέρεται.
Κοὐδέν ἐν ἀνθρώποισι καλόν,κακότητος ἄμικτον.
Αἴθε δέ μή τά λυγρά πλείονα μοῖραν ἔχεν!
Ὁ πλοῦτος μέν ἄπιστος,ὁ δέ θρόνος ὀφρύς ὀνείρων·
ἄρχεσθαι δέ μόγος,ἡ πενίη δέ πέδη.
Κάλλος δ'ἀστεροπῆς,τυτθή χάρις,ἡ νεότης δέ
βράσμα χρόνου,πολιή λυπρά λύσις βιότου.
Οἱ δέ λόγοι πτερόεντες· ἀήρ κλέος·αἷμα παλαιόν
εὐγενέται,ῥώμη καί συός ἀγροτέρου.
Ὑβριστής δέ κόρος·δεσμός γάμος·εὐτεκνίη δέ
φροντίς ἀναγκαίη·δυστεκνίη δέ νόσος.

Αἱ δ'ἀγοραί,κακίης μελετήματα·ἠρεμίη δέ
ἀδρανίη·τέχναι,τῶν χαμαί ἐρχομένων.
Στεινή δ'ἀλλοτρίη μᾶζα.Τό δέ γαῖαν ἀρόσσειν
μόχθος.Ποντοπόρων τό πλέον εἰν Ἀΐδῃ.
Ἡ πάτρη δέ βέρεθρον ἐόν· ξενίη δ'τ'ὄνειδος.
Πάντα μόγος θνητοῖς τἀνθάδε,πάντα γέλως,
χνοῦς,σκιά,φάσμα,δρόσος,πνοιή,πτερόν,ἀτμίς,ὄνειρος,
οἶδμα,ῥόος,νηός ἴχνιον,αὔρα,κόνις,
κύκλος ἀειδίνητος,ὁμοίια πάντα κυλίνδων,
ἑστηώς,τροχάων,λυόμενος,πάγιος,
ὥραις,ἤμασι,νυξί,πόνοις,θανάτοισιν,ἀνίαις,
τερπωλῇσι,νόσοις,πτώμασιν,εὐδρομίαις.
Καί τόδε σῆς,γενέτορ,σοφίης,Λόγε,ἀστατέοντα
πάντα πέλειν,στασίμων ὥς κεν ἔχωμεν ἔρον...

(Ἔπη Ἠθικά ΙΣΤ', PG 37,778-780)

7

Περί φίλων τῶν μή καλῶν

Δεινόν τό πάσχειν.Ἄν δέ καί φίλων ὕπο
ὡς χεῖρον.Ἄν δέ καί λαθραίοις δήγμασι,
τοῦτ'οὐ φορητόν.Ἄν δέ καί πιστῶν ὕπο,
ἐπίσχες. Ἄν δέ καί Θεοῦ παραστατῶν,
ποῖ τις τράπηται;πῶς φύγῃ κακῶν φοράν;

(Ἔπη Ἠθικά ΚΒ',PG 37,789)

8

Εἰς τό αὐτό

Δεινόν τό λυποῦν.Ἄν δέ καί λυπῇ φίλος,
ἀνδραπωδῶδες.Ἄν δέ καί δάκνῃ λάθρα,
ὡς θηριῶδες.Ἄν δέ καί γυνή λάλος,
δαίμων σύνοικος.Ἄν δέ καί δικασπόλος,
χρεία κεραυνῶν.Ἄν δέ καί θυηπόλος,
ἄκουε ,Χριστέ,καί δίκαζε τήν δίκην.

(Ἔπη Ἠθικά ΚΓ',PG 37,790)

9

Εἰς ἑαυτόν καί περί ἐπισκόπων

Πάντων τό ὕψος,οὐχί πάντων δ'ἡ χάρις.
Τό κώδιον πάρελθε,τόν λύκον βλέπε.
Μή τοῖς λόγοις με πεῖθε,τοῖς δέ πράγμασι.
Μισῶ διδάγμαθ',οἷς ἐναντίος βίος.
Τά χρώματ'αἰνῶν τοῦ τάφου,βδελύττομαι
τήν ἔνδον ὀδμήν τῶν σεσηπότων μελῶν.

10

Ἐπιτύμβιον εἰς Μ. Βασίλειον

Ἡνίκα Βασιλείοιο θεόφρονος ἥρπασε πνεῦμα
ἡ Τριάς ἀσπασίως ἔνθεν ἐπειγομένου,
πᾶσα μέν οὐρανίη στρατιή γήθησεν ἰόντι,
πᾶσα δέ Καππαδοκῶν ἐστονάχησε πόλις·
οὐκ οἶον,κόσμος δέ μέγ'ἴαχεν' Ὤλετο κῆρυξ,
ὤλετο εἰρήνης δεσμός ἀριπρεπέος.

11

Ἐπιτάφιος καί συντομή τοῦ αὐτοῦ βίου

Χριστέ ἄναξ,τί με σαρκός ἐν ἄρκυσι ταῖσδ'ἐνέθηκας;
τίπτε με βίῳ θῆκας ὑπ'ἀντιπάλῳ;
Πατρός μέν γενόμην θεοειδέος,οὐκ ὀλίγης δέ
μητέρος'ἐς δέ φάος ἤλυθον εὐξαμένης.
Ηὔξατο καί μ'ἀνέθηκε θεῷ βρέφος· ἀφθορίης δέ
θερμόν ἔρωτα χέεν ὄψις ἐμοί νυχίη.
Χριστός μέν δή τοῖα· τά δ'ὕστατα κύματα βράσθην,
ἀρπαλέαις παλάμαις ἤρκεσα,σῶμα λύθην,
ποιμέσιν οὐ φιλίοισιν συνέδραμον,ηὗρον ἄπιστα,
κηρώθην τεκέων,πήμασι χασσάμενος.
Οὗτος Γρηγορίοιο βίος· τά δ'ἔπειτα μελήσει
Χριστῷ ζωοδότῃ.Γράψατε ταῦτα λίθοις.

("Επη 'Ιστορικά Β',PG 37,1447)

7.- ΣΥΝΕΣΙΟΣ Ο ΚΥΡΗΝΑΙΟΣ (περ.372-412/413)

ΥΜΝΟΣ ΠΡΩΤΟΣ
(OLIM TERTIUS)

Ἄγε μοι,ψυχά,
ἱεροῖς ὕμνοις
ἐπιβαλλομένα,
ὑληγενέας
εὔνασον οἴστρους,
θώρησσε δέ νοῦ
ζαμενεῖς ὁρμάς.
Βασιλῆι θεῶν
πλέκομεν στέφανον,
θύμ'ἀναίμακτον,
ἐπέων λοιβάς.
Σέ μέν ἐν πελάγει,
σέ δ'ὑπέρ νάσων,
σέ δ'ἐν ἀπείροις,
ἐπί τε πτολίων,
κραναῶν τ'ὀρέων
καί κατά κλεινῶν
ὁπόταν πεδίων
στάσω διδύμους
γυίων ταρσούς,
σέ ,μάκαρ,μέλπω,
κόσμου γενέτα.
Σοί νύξ με φέρει
τόν ἀοιδόν,ἄναξ·
σοί δ'ἀμερίους,
σοί δ'ἀῴους,
σοί δ'ἑσπερίους
ὕμνους ἀνάγω·
ἵστορες αὐγαί
πολιῶν ἄστρων
μάνας τε δρόμοι
καί μέγας ἵστωρ
ἅλιος,ἁγνῶν
ἄστρων πρύτανις,
ὁσιᾶν ψυχᾶν
ἅγιος ταμίας.
Ἐπί σᾶς αὐλάς ,
ἐπί σούς κόλπους
τόν ἀποστρόφιον
ταναᾶς ὕλας
ταρσόν ἀείρω
ἐλαφρίζοντα,
χαίρων ἵνα σου
προμολάν ἱκόμαν.
Νῦν ἐπί σεμνᾶς
τελετηφορίας
σηκούς ἁγίους
ἱκέτας ἔμολον·
νῦν ἐπί κλεινῶν
κορυφάν ὀρέων
ἱκέτας ἔμολον·
νῦν ἐς ἐρήμας
αὐλῶνα μέγαν
Λιβύας ἔμολον,
πέζαν νοτίαν,
τάν οὔτ'ἄθεον
πνεῦμα μολύνει,
οὔτε χαράσσει
ἴχνος ἀνθρώπων
ἀστυμερίμνων,
ἵνα σοι ψυχά
καθαρά παθέων,
λύσασα πόθους,
λήξασα πόνων,
λήξασα γόων,
θυμῶν,ἐρίδων,
ὅσα κηριτρεφῆ
ἀποσεισαμένα,
καθαρᾷ γλώσσᾳ
γνώμᾳ θ'ὁσίᾳ
τόν ὀφειλόμενον
ὕμνον ἀποίσει.

Εὐφαμείτω
αἰθήρ καί γᾶ·
στάτω πόντος,
στάτω δ'ἀήρ·
λήγετε πνοιαί
βαλιῶν ἀνέμων·
λήγετε ῥιπαί
γυρῶν ροθίων,
ποταμῶν προχοαί,
κραναaί λιβάδες·
ἐχέτω σιγά
κόσμου λαγόνας,
ἱερευομένων
ἁγίων ὕμνων.
Δύτω κατά γᾶς
ὀφίων συρμός·
δύτω κατά γᾶς
καί πτανός ὄφις,
δαίμων ὕλας,
νεφέλα ψυχᾶς.
εἰδωλοχαρής,
εὐχαῖς σκύλακας
ἐπιθωΰσσων.
Σύ,πάτερ,μάκαρ,
σύ ψυχοβόρους
ἀπέρυκε κύνας
ψυχᾶς ἀπ'ἐμᾶς,
εὐχᾶς ἀπ'ἐμᾶς,
ζωᾶς ἀπ'ἐμᾶς,
ἔργων ἀπ'ἐμῶν.
'Α δ'ἀμετέρα
πραπίδων λοιβά
σοῖς ἐριτίμοις
μελέτω προπόλοις,
πορθμεῦσι σοφοῖς
ἁγίων ὕμνων....

ΥΜΝΟΣ ΠΕΜΠΤΟΣ

(OLIM SECUNDUS)

Πάλι φέγγος,πάλιν ἀώς,
πάλιν ἀμέρα προλάμπει
μετά νυκτίφοιτον ὄρφναν·
πάλι μοι λίγαινε,θυμέ,
θεόν ὀρθρίοισιν ὕμνοις,
ὅς ἔδωκε φέγγος ἀοῖ,
ὅς ἔδωκεν ἄστρα νυκτί,
περικοσμίαν χορείαν.
Πολυκύμονος μέν ὕλας
ἐκάλυψε νῶτον αἰθήρ
πυρός ἐμβεβώς ἀώτῳ,
ἵνα κυδίμα σελάνα
πυμάταν ἄντυγα τέμνει·
ὑπέρ ὀγδόαν δέ δίναν
ἑλίκων ἀστροφορήτων
ῥόος ἀστέρων ἔρημος,
ὑποκολπίους ἐλεύνων πτύχας
πτύχας ἀντίον θεοίσας
μέγαν ἀμφί νοῦν χορεύει,
ὅς ἄνακτος ἄκρα κόσμου
πολιοῖς ἔρεψε ταρσοῖς.
Τά πρόσω μάκαιρα σιγά
νοερῶν τε καί νοητῶν
ἄτομον τομάν καλύπτει.
Μία παγά,μία ῥίζα,
τριφαής ἔλαμψε μορφά·
ἵνα γάρ βυθός πατρῷος,
τόθι καί κύδιμος υἱός,
κραδιαῖόν τι λόχευμα,
σοφία κοσμοτεχνῖτις,
ἐνοτήσιόν τε φέγγος
ἁγίας ἔλαμψε πνοιᾶς...

ΥΜΝΟΣ ΕΝΑΤΟΣ

(OLIM PRIMUS)

"Αγε μοι,λίγεια φόρμιγξ,
μετά Τηΐαν ἀοιδάν,
μετά Λεσβίαν τε μολπάν,
γεραρωτέροις ἐφ'ὕμνοις
κελάδει Δώριον ᾠδάν,
ἁπαλαῖς οὐκ ἐπί νύμφαις
ἀφροδίσιον γελώσαις,
θαλερῶν οὐδ'ἐπί κούρων
πολυηράτοισιν ἥβαις·
θεοκύμονος γάρ ἁγνά
σοφίας ἄχραντος ὠδίς
μέλος ἐς θεῖον ἐπείγει
κιθάρας μίτους ἐρέσσειν,
μελιχράν δ'ἄνωγεν ἄταν
χθονίων φυγεῖν ἐρώτων.
Τά γάρ ἀλκά,τί δέ κάλλος,
τί δέ χρυσός,τί δέ φᾶμαι
βασιλήιοί τε τιμαί
παρά τάς θεοῦ μερίμνας;
'Ο μέν ἵππον εὖ διώκοι,
ὁ δέ τόξον εὖ τιταίνοι ,
ὁ δέ θημῶνα φυλάσσοι
κτεάνων,χρύσεον ὄλβον
ἑτέρῳ δ'ἄγαλμα χαίτη
καταειμένη τενόντων·
πολύυμνος δέ τις εἴη
παρά κούροις,παρά κούραις,
ἀμαρύγμασιν προσώπων·
ἐμέ δ'ἀψόφητον εἴη
βιοτάν ἄσημον ἕλκειν,
τά μέν εἰς ἄλλους ἄσημον,
τά δέ πρός θεόν ἰδυῖαν.
Σοφία δέ μοι παρείη,
ἀγαθά μέν νεότατα,
ἀγαθά δέ γῆρας ἕλκειν,
ἀγαθά δ'ἄνασσα πλούτου·
πενίαν δ'ἄμοχθος οἴσει
σοφία γελῶσα,πικραῖς
ἄβατον βίου μερίμναις,
μόνον εἰ τόσον παρείη
ὅσον ἄρκιον καλιῆς
ἀπό γειτόνων ἐρύκειν,
ἵνα μοι χρεώ με κάμπτοι
ἐπί φροντίδος μελαίνας.
Κλύε καί τέττιγος ᾠδάν
δρόσον ὀρθρίαν πιόντος.

(Κατά την έκδοση : Synésios de Cyrène.Tome I.Hymnes.Texte é-tabli et traduit par Christian LACOMBRADE,Paris 1978, "Les Belles Lettres ")

9.-ΓΕΩΡΓΙΟΣ ΠΙΣΙΔΗΣ (7ος αι.)

Ὕμνος εἰς τήν Ἁγίαν Ἀνάστασιν τοῦ Χριστοῦ
τοῦ Θεοῦ ἡμῶν

Λευχειμονοῦσα νῦν προῆλθεν ἡ κτίσις,
τό γάρ σκοτεινόν ἐκδιδύσκεται χρέως,
λευκήν δέ φωτός ἀμφιέννυται χάριν.
Εὐφραίνεται δέ πᾶσα τῶν ὄντων φύσις,
ἀνίσταται δέ τῶν πεσόντων ἡ βάσις,
καθαίρεται δέ τῶν μολυσμῶν ὁ ζόφος
καί νῦν ἀληθῶς τό σκότος φωτίζεται
καί γειτνιῶσι τοῖς ἄνω τά τῶν κάτω.
Ὁ φραγμός ἤρθη καί τό κέντρον ἐφθάρη
καί πάντα κοινά καί συνῆλθον αἱ φύσεις.
Καί χοῦς χαμερπής οὐρανούς μνηστεύεται
καί Πνεῦμα πηλός ἀρραβῶνα λαμβάνει.
Καί εἷς ὁ αὐτός καί κατάρχει τῶν ἄνω
καί σωματοῦται καί κατέρχεται κάτω
καί γίνεται φῶς ἡ γεώδης οὐσία
καί ζωτική φλόξ ἡ τεφρώδης αἰθάλη.
Καί πῦρ δι'ἡμᾶς τῇ δρόσῳ κεράννυται
καί πυρπολεῖται τῶν παθῶν ἡ σφοδρότης.
Χωνεύεται γάρ πᾶσα κίβδηλος πλάνη,
ὥσπερ τις ὕλη χρυσίῳ μεμιγμένη,
μένει δέ λοιπόν ἐκ πυρός καθαρσίου
σῴζων ὁ χρυσός ἥνπερ εἶχεν εἰκόνα.
Παρῆλθεν ἡ νύξ τῶν πλανήτων μέν λόγων.
Κέκμηκεν Ὀρφεύς καί παρῆκε τήν λύραν.
Ὁ Φοῖβος αὐτῶν οὐκ ἀνοίγει τό στόμα.
Μαραίνεται δρῦς καί πεφίμωται τρίπους.
Πλάτων σιωπᾷ καί λαλεῖ σκυτεργάτης.
Νοσεῖ Γαληνός,ἐκφοβεῖ δέ τάς νόσους
ὁ Πέτρος ἡμῶν· τάς σαγήνας ὁ πλέκων
πᾶσαν διώκει τῶν βροτείων τήν νόσον....
Καί πᾶσα τόν Κτίσαντα δοξάζει κτίσις
λευκήν φοροῦσα τήν στολήν τῆς καρδίας...
Μόνος δέ θρηνεῖ καί μελαχίτων μένει
ὁ τῆς ἀπαρχῆς ἐντολῆς ὁδοστάτης...
Καί συγκεραννύς τῷ γλυκεῖ τήν πικρίαν,
πολλούς δέ νεκρούς τῇ φθορᾷ τεθηγμένους
ἐκ τῆς σκοτεινῆς κοιλίας ἐρεύγεται...

10. ΙΕΡΑ ΕΠΙΓΡΑΜΜΑΤΑ

1

Στή Γέννηση τοῦ Χριστοῦ

Θεός τό τεχθέν,ἡ δέ μήτηρ παρθένος·
τί μεῖζον ἄλλο καινόν εἶδεν ἡ κτίσις;
Παρθενική Μαρίη Θεόν εἰκάδι γείνατο πέμπτη .

2

Στόν Ἅγιο Γεώργιο

Ἐχθρούς ὁ τέμνων Γεώργιος ἐν μάχαις
ἑκών παρ'ἐχθρῶν τέμνεται διά ξίφους.
Ἦρε Γεωργίου τρίτη εἰκάδι αὐχένα χαλκός.

3

Στόν ἅγιο μάρτυρα Ἡράκλειο

Εἷς ἆθλος,Ἡράκλειε,σός πρός τό ξίφος,
ἄθλους καλύπτει τούς ὅλους Ἡρακλέους.

4

Στήν εἰκόνα τῆς Παναγίας τοῦ Πάθους

Ὁ τό χαῖρε πρίν τῇ Πανάγνῳ μηνύσας
τά σύμβολα νῦν τοῦ Πάθους προδεικνύει·
Χριστός δέ θνητήν σάρκα ἠμφιεσμένος
πότμον δεδοικώς δειλιᾷ ταῦτα βλέπων.

5

Θεοδώρου Στουδίτου " Εἰς τύμβον"

Ὦ τύμβε πικρέ τῶν βίου γλυκυσμάτων,
πάντας κατασπῶν οὐκ ἐπαρκεῖ χορτάσαι·
μικρούς,μεγίστους,ὀλβίους,ἀνεστίους,
σοφούς,ἀμύστους,δυσπροσώπους,εὐθέτους,
ὅλους ἀλήθων τέφραν ἴσχεις ἐξ ἴσου,
μηδέν φέροντας ἤ μόνον τά πρακτέα,
ἅπερ παραστῇ τῷ Θεοῦ κριτηρίῳ·
εἰ μέν κράτιστα,δόξα τῷ κεκτημένῳ·
εἰ δ'αὖ κάκιστα,φεῦ τε τῷ φαυλοπράτῃ.
Ἄνθρωπε,λοιπόν,πρόσχες,οἷόν σοι μένει.

6

Θεοδώρου Προδρόμου Στούς Ἁγίους Δέκα τῆς Κρήτης

Ὦ νῆσε Κρήτη,μή μεγαλαύχει μάτην,
ὡς θῆρας οὐ τρέφουσα,θῆρας γάρ τρέφεις
τούς σούς ἐποίκους,μαρτυροῦσιν οἱ Δέκα,
ὧν τάς σάρκας ξέουσιν ὡς τά θηρία.

11.- ΡΩΜΑΝΟΣ Ο ΜΕΛΩΔΟΣ (6ος αι.)

⟨Τῇ ἁγίᾳ καὶ μεγάλῃ δευτέρᾳ⟩, ἕτερον κοντάκιον εἰς τὸν πειρασμὸν τοῦ Ἰωσήφ, οὗ ἡ ἀκροστιχίς·

εἰς τὸν Ἰωσὴφ Ῥωμανοῦ ἔπος

Προοίμιον I

Οἱ τὸ στάδιον τῶν νηστειῶν πανσόφως διανύσαντες
καὶ τὴν ἔναρξιν τοῦ πάθους τοῦ Κυρίου ἐν πόθῳ ποιούμενοι,
δεῦτε, πάντες ἀδελφοί, τὴν τοῦ σώφρονος ἁγίαν
Ἰωσὴφ σπουδὴν ζηλώσωμεν·
τῆς δὲ συκῆς τὴν ἀκαρπίαν φοβηθέντες, τῶν παθῶν ξηράνωμεν
δι' ἐλεημοσύνης τὴν ἡδύτητα,
ἵνα καὶ τὴν ἔγερσιν εὐθύμως προφθάσαντες,
ὡς μύρα κομισώμεθα ἐξ ὕψους τὴν συγχώρησιν,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Προοίμιον II

Τοὺς τὸ πάθος σου πεφθακότας καὶ τὴν ἔγερσιν
προσκυνῆσαι ἀξίωσον, σωτήρ, τὸ ἀκοίμητον ὄμμα.

Προοίμιον III

Ἀκολασία τὸν νέον ἐξαπατᾷ πρὸς ἡδύτητα,
ἡ ἁγνεία ἀνδρείαν συνεισάγει τῷ σώφρονι,
δι' ὧν ὤφθη ὁ δίκαιος Ἰωσὴφ ἐν [Αἰγύ]πτῳ, δεδοικὼς μὴ ἁμαρτῆσαι,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

Προοίμιον IV

Τὸν ὀδυρμὸν τοῦ Ἰακὼβ νῦν θεωρήσωμεν,
τῶν ἀδελφῶν τὴν δολερὰν γνώμην μισήσωμεν,
Ἰωσὴφ δὲ τὸν δίκαιον ζηλώσωμεν· σωφροσύνην γὰρ φυλάξας ἀθόλω-[τον,
ἐκ παντοίων οὖν κινδύνων ἠλευθέρωται,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

α'

Ἔχοντες βασιλέα οὐρανῶν βασιλείαν
διδοῦντα τοῖς αὐτοῦ στρατιώταις,
ἐνδυσώμεθα τὴν ἀρετήν, πανοπλίαν οὖσαν
τῶν ψυχῶν ἄτρωτον,
ἵνα καὶ πολεμήσωμεν ὡς ἔμφρονες τὴν ἁμαρτίαν.
Τίνα δὲ τὴν ἀρετὴν νοῶμεν; Φιλοσοφίαν ὁρῶμεν ταύτην·
τέχνη γάρ ἐστι τῶν τεχνῶν, ὡς ἀκούομεν,
τῶν ἐπιστημῶν ἐπιστήμη τυγχάνουσα·

δι' αὐτῆς, ὡς διὰ κλίμακος, χειραγωγεῖται ψυχὴ
καὶ πρὸς ὕψος ἀναφέρεται τῆς οὐρανίου ζωῆς
φρόνησιν καὶ ἀνδρείαν τοὺς ἀνθρώπους διδάσκει,
ἔτι δὲ σωφροσύνην καὶ τὴν δικαιοσύνην.
Τούτοις ἡμᾶς τοῖς ὅπλοις τειχίσωμεν,
καὶ τοῦ Χριστοῦ τὴν χάριν αἰτήσωμεν·
δίδωσι γὰρ τοῖς αὐτὸν ἀγαπῶσι
τὴν κατ' ἐχθρῶν ἀναδήσασθαι νίκην,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

β'

Ἵνα μάθωμεν πάντες τὴν ὑπέρλαμπρον δόξαν
ἣν ἔχει ἀρετὴ καὶ παρέχει,
τὴν ὑπόθεσιν τοῦ Ἰωσὴφ ἐνεγκεῖν εἰς μέσον,
εἰ δοκεῖ, σπεύσωμεν,
καὶ βίον φιλοσώφρονα κτησώμεθα δι' ἐγκρατείας.
Οὗτος πραθεὶς διὰ πάθος φθόνου δοῦλος παθῶν οὐδαμῶς εὑρέθη·
εἶχε γὰρ τὸν νοῦν ὡς σοφὸν αὐτοκράτορα
καὶ τῶν φιλοσάρκων παθῶν ἐκυρίευσε·
διὰ τοῦτο οὐκ ἐσείετο κολακείαις γυναικός,
ἀλλὰ ταύτης ἀπεσείετο τὰς θωπείας ἀνδρικῶς·
ἔπεμπε μὲν ἐκείνη ὡς ἀνέμους τοὺς λόγους
ἵνα τῆς σωφροσύνης καταβάλῃ τὸν οἶκον,
καὶ ὡς βροχὴν τὴν μέθην κατέχεε,
καὶ ποταμοὺς χρημάτων προσέφερε·
νέος δὲ ὤν, Ἰωσὴφ ὁ γενναῖος
ἦν ἑστηκὼς ἐπὶ πέτρας ἀσείστου,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

γ'

Σῶμα μὲν ἐδουλώθη, τὸ δὲ φρόνημα εἶχεν
ἀδούλωτον ὁ σώφρων ἐκεῖνος·
ὁ κατ' ὄναρ φανεὶς βασιλεὺς νῦν καθάπερ δοῦλος
ὠνητὸς γέγονεν,
ἀλλ' ὅμως καὶ κρατούμενος, ἐκράτησε τῶν κρατησάντων·
ὑπὸ δεσπότου μὲν ἐτιμᾶτο, ὑπὸ δεσποίνης δὲ ἐποθεῖτο·
ἦν μὲν ἀγαθὴ τοῦ δεσπότου ἡ εὔνοια,
ἄχρηστος δὲ λίαν ἡ ταύτης διάνοια·
ἔστεργε διὰ σεμνότητα ὁ ἀνὴρ τὸν Ἰωσήφ,
ἔθελγε διὰ φαυλότητα ἡ γυνὴ τὸν εὐγενῆ·
ἔτερπε μὲν ἐκεῖνον ἡ ὀρθότης τοῦ τρόπου,
ἔτρωσε δὲ ἐκείνην ὡραιότης προσώπου·
οὗτος αὐτῷ τὸν οἶκον παρέδωκεν,
αὕτη αἰσχρῶς τὸ σῶμα προδέδωκεν·
ὅπερ ἰδὼν Ἰωσὴφ ἀπεστράφη,
τὴν φοβερὰν ἐνθυμούμενος κρίσιν,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

δ′

Τῶν πραγμάτων τὴν τάξιν ἡ παράνομος πρᾶξις
ἀπέστρεφε πρὸς τὸ ἐναντίον·
ὁ μὲν δοῦλος ἐκράτει παθῶν, ὡς δεσπότης πάσης
ἡδονῆς τέλειος·
ἡ δέσποινα δὲ γέγονεν ἀνδράποδον τῆς ἁμαρτίας.
Πᾶς γὰρ ὁ πράττων τὴν ἁμαρτίαν δοῦλος ὑπάρχει τῆς ἁμαρτίας,
πάντα μὲν τὰ ἄλλα ὡς ὄναρ ἡγούμενος,
πρὸς δὲ τὸ ποθούμενον ὅλως ἑλκόμενος,
ὥσπερ ἔπαθεν ἡ δέσποινα τοῦ δικαίου Ἰωσὴφ
πρὸς ἐκείνην τὴν ἐπέραστον εὐμορφίαν τοῦ παιδός.
Βλέπουσα γὰρ τὸν νέον ὀφθαλμοῖς ἀκολάστοις,
βέλεσιν ἀοράτοις τὴν ψυχὴν ἐκολάσθη·
ὅσον αὐτὸς τῷ κάλλει ἐξέλαμπε,
ταύτης ὁ νοῦς τοσοῦτον ἐξέλειπεν·
αὕτη πυρσὸν ἡδονῆς προετίθει,
οὗτος δὲ πῦρ ἄσβεστον ἀντετίθει,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ε′

Ὅλην τῆς Αἰγυπτίας τὴν καρδίαν συνεῖχεν
ἡ τῆς ἐπιθυμίας μανία,
καὶ πληγεῖσα κρυφίαν πληγήν, ὑπεδέχετο μὲν
τὰ πικρὰ φάρμακα,
γλυκέα δὲ ἐνόμιζε τὰ τραύματα, ὡς μαινομένη·
δι᾽ ὀφθαλμῶν δεχομένη βέλη ἀπὸ τῆς σώφρονος βελοθήκης
καὶ τὴν ἑαυτῆς ἀσωτίαν τιτρώσκουσα,
τέρψιν ὑπενόει τὴν τρῶσιν ἡ τάλαινα.
Ὁ μὲν πόθος ὁ ἀκόλαστος ἐπολιόρκει τὸν νοῦν,
τὸ δὲ πάθος οὐκ ἠδύνατο φανερῶσαι τὸ αὐτῆς·
αὕτη γὰρ καὶ παρόντος Ἰωσὴφ ὠδυνᾶτο,
πάλιν δὲ καὶ ἀπόντος ἀνεφλέγετο πλέον·
λόγοις αὐτὸν χρηστοῖς ἐκολάκευε,
πεῖραν αὐτοῦ λαβεῖν κατασπεύδουσα·
ὁ δὲ σεμνὸς Ἰωσὴφ παρῃτεῖτο
τῆς γυναικὸς τὴν ἀθέμιτον πρᾶξιν,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ϛ′

Νυμφοστόλος μοιχείας ὁ διάβολος ἦλθεν,
ἵνα τῇ Αἰγυπτίᾳ συμπράξῃ
καὶ « Ἀνδρίζου, ὦ γύναι, φησίν· ὡς ἀρχαῖον οὖσα
καὶ στερρὸν ἄγκιστρον,
ἑτοίμασον τὸ δέλεαρ καὶ θήρευσον τὸν νεανίαν.
Τοὺς μὲν πλοκάμους τῆς κεφαλῆς σου πλέξον ὡς δίκτυα κατὰ τούτου·
τὴν δὲ τοῦ προσώπου μορφὴν κατακάλλυνον,
πᾶσι βαθυχρόοις κοσμοῦσα σοφίσμασι·
φαίδρυνόν σου καὶ τὸν τράχηλον τοῖς χρυσοπλόκοις δεσμοῖς·
ἐπὶ πᾶσιν ἀμφιάσθητι πολυτίμητον στολήν,
[illegible] πλείστους ἐκθηλύνουσι νέους·


πρόκεινται γὰρ ἀγῶνες ἰσχυροὶ καὶ γενναῖοι·
οὗτος μὲν σοὶ ἁγνείαν ἀντέστησε,
σὺ δὲ αὐτῷ λαγνείαν ἀντίστησον·
μὴ νικηθῇς καὶ καταγελασθῶμεν·
λέξει γὰρ σοί· Οὐ ποιήσω ὃ θέλεις,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα. »


ζ′

Ἴδεν ἄσεμνον ὄψιν ὁ σεμνὸς νεανίας,
καὶ μᾶλλον ἐβδελύξατο ταύτην·
ἐθεώρει μορφὴν ἱλαράν, ἀλλ᾽ ἐνόει γνώμην
δολερὰν ἔσωθεν,
καὶ σπεύσας ταύτην ἔφυγεν ὡς ἔχιδναν ἐγκεκρυμμένην·
ὅθεν μὴ φέρουσα ἡ ἀθλία τὴν περιφρόνησιν τοῦ γενναίου,
πᾶσαν τὴν αἰδῶ τῆς καρδίας ἀπέρριψε
καὶ τὴν ἑαυτῆς ἀσωτίαν ἐγύμνωσε.
Πρῶτον μὲν γὰρ ἐθεράπευσε διὰ μέσης γυναικός,
καὶ αὐτὴ δὲ μετεπέμπετο καὶ ὡμίλει μετ᾽ αὐτοῦ·
γλῶσσαν εἶχεν ὀξεῖαν ὑπὲρ μάχαιραν οὖσαν
καὶ διὰ τῆς τῶν λόγων ἡδονῆς ἀναιροῦσαν·
τέχναις αὐτὸν πολλαῖς ἐγοήτευεν,
ἀλλὰ τὸν νοῦν αὐτοῦ οὐ παρέτρεψεν·
ἔλεγε γάρ· « Οὐ ποιήσω τὸ μύσος,
ἔχων ἀεὶ πρὸς τὰ φαῦλα τὸ μῖσος,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα. »

η′

Ὢ μανίας ἐσχάτης γυναικὸς ἀκολάστου
ἐπὶ τοῦ Ἰωσὴφ ἐκφλεχθείσης·
ἐπειδὴ γὰρ κατεῖδεν αὐτὸν ταῖς αὐτῆς θωπείαις
οὐδαμῶς εἴκοντα,
μὴ πάθεσι νεότητος ἡττώμενον, ἐβόα τούτῳ·
« Δοῦλος ἐμὸς ὠνητὸς ὑπάρχεις, πέπρασαί μοι, ἵνα μοι δουλεύῃς·
ὅλου σε δεσπότην τοῦ οἴκου πεποίηκα,
γενοῦ δὲ κἀμοῦ τῆς κυρίας σου κύριος·
οὐ λογίζομαι ὑβρίζεσθαι καταβαίνουσα πρὸς σέ·
δεσποτείας καὶ δουλείας γὰρ οὐκ ἔστι διαφορά·
ἕνα πάντων πατέρα τὸν Ἀδὰμ ἐδιδάχθην,
μίαν πάντων μητέρα τὴν ἀρχέγονον Εὔαν·
πάντες ἐσμὲν ἀλλήλων ὁμότιμοι,
ὡς τῆς αὐτῆς μετέχοντες φύσεως·
μὴ φοβηθῇς ὡς ἀθέμιτα πράττων,
μηδὲ πεισθῇς τοῖς λαλοῦσί σοι ταῦτα
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.





θ′

Σοῦ τοὺς τρόπους ὁρῶσα   κοσμουμένους ἐν πᾶσι,
τῶν ἄλλων προτιμῶ σε συνδούλων·
ἐν τοῖς ὄμμασι γὰρ τὴν αἰδῶ   καὶ τοῖς χείλεσί σου,
ὡς ποθῶ, κέκτησαι,
καὶ πᾶσαν ἔχεις αἴσθησιν   εὐσχήμονα, καθάπερ θέλω.
Δεῦρο, ἐπάκουσον τῆς φωνῆς μου,   ἵνα σοι δείξω τὴν πρόθεσίν μου
πλείστων γὰρ καλῶν σε ἐμπλήσω πεισθέντα μοι
καὶ δωροδοκίαις πλουσίαις ἀμείψομαι·
καὶ γὰρ πλεῖόν σε παράθωμαι   τῷ συμβίῳ τῷ ἐμῷ,
καὶ γενέσθαι σε ἐλεύθερον   κατασπεύσω παρ' αὐτοῦ·
δοῦλος γὰρ οὐ κληθήσῃ,   συγκαθεύδων δεσποίνῃ·
ἐὰν δὲ μὴ πεισθῇς μοι,   κινδυνεύσεις δικαίως·
σὲ γὰρ πικροῖς   δεσμοῖς παραδίδωμι,
καὶ πονηρῷ   θανάτῳ ἐκδίδωμι·
μὴ οὖν σαυτὸν   ἀδικῆσαι θελήσῃς·
οὐ γὰρ ἔστιν   ἀληθὲς ὃ νομίζεις,
ὅτι πάντα ἐφορᾷ   τὸ ἀκοίμητον ὄμμα.

ι′

Ἡ γυνὴ μὲν τοιαῦτα·   ἀλλ' οὐκ ἴσχυσεν ὅλως
σαλεῦσαι τὸν ἀσάλευτον πύργον·
οὐκ ἐνύσταξε ταῖς κολακείαις,   ἀλλὰ μᾶλλον εἶχε
λογισμὸν ἄγρυπνον
καὶ ἄσυλον ἐφύλαττε   τὸ καύχημα τῆς σωφροσύνης.
Ἔνθεν καὶ ἔνθεν περισκοπήσας,   ταύτην ἑώρα τὴν μαινομένην·
πάντας γὰρ τοὺς ἄλλους τοῦ οἴκου ἐξέπεμψε,
μόνη δὲ πρὸς μόνον τοιαῦτα ἐφθέγγετο·
« Ἕως πότε σου ἀνέξομαι   παρακούοντος ἐμοί;
νῦν καιρὸς τοῦ ἀπολαῦσαί με   τῆς ποθουμένης εὐνῆς·
οὐ γὰρ ἔστιν ἐνταῦθα   οὐδὲ εἷς τῶν τοῦ οἴκου,
καὶ οὐδὲν ἐμποδίζει   τοῦ γενέσθαι ὃ λέγω. »
Βέλη πυρὸς   αὐτῷ κατηκόντιζεν,
ἀλλ' οὐδαμῶς   αὐτὸν κατεφλόγιζεν·
ἔσωθεν γὰρ   σωφροσύνην πηγάζων,
τὰς πονηρὰς   ἔσβεσεν ὁμιλίας,
ὅτι πάντα ἐφορᾷ   τὸ ἀκοίμητον ὄμμα.

ια′

Φθεγγομένης τοιαῦτα   τῆς μαινάδος ἐκείνης
καὶ καταθωπευούσης τὸν νέον,
εἰς τὰ σκάμματα τῶν πειρασμῶν   Ἰωσὴφ ὁ μέγας
ἀθλητὴς ἔρχεται,
πολύμορφον ἀντίπαλον   βουλόμενος ἀντιπαλαῖσαι·
καὶ βραβευταὶ συνεισῆλθον δύο   καὶ παρειστήκεισαν ἀμφοτέροις·

τῷ μὲν Ἰωσὴφ ἡ ἁγνεία συνίστατο,
τῇ δὲ γυναικὶ ἡ λαγνεία προΐστατο,
μέσον τούτων ἠγωνίζετο   ὁ φιλοσώφρων ἀνήρ,
πρὸς αὐτὸν ἀντηγωνίζετο   ἡ δολιόφρων γυνή·
ἔθελγε μὲν ἐκείνη   πρὸς μοιχείαν καλοῦσα,
ἤθελε δὲ νικῆσαι   τὴν αἰσχρὰν ὁ γενναῖος·
τῷ Ἰωσὴφ   συνέπραττον ἄγγελοι,
τῇ γυναικὶ   συνέτρεχον δαίμονες·
ἄνωθεν δὲ   θεωρῶν ὁ δεσπότης,
τὸν νικητὴν   ἔστεφε τοῖς ἐπαίνοις,
ὅτι πάντα ἐφορᾷ   τὸ ἀκοίμητον ὄμμα.

ιβ′

Ῥήματα σωφροσύνης   Ἰωσὴφ ἀπεκρίθη
πρὸς τὴν παραφρονοῦσαν βοήσας·
« Σὸς μὲν δοῦλός εἰμι ὠνητός,   διὰ φθόνον τοῦτο
πεπονθὼς ἄδικον·
κἂν πέπραμαι δὲ σώματι,   ἐλεύθερός εἰμι τῇ γνώμῃ.
Τὴν γὰρ εὐγένειαν τὴν τῶν τρόπων   χάρτης καὶ μέλαν οὐκ οἶδε βάψαι,
ὥσπερ ἡ ἀχλὺς τὸν ἀέρα σκοτίζουσα
τὴν ἡλιακὴν οὐκ ἀμβλύνει λαμπρότητα·
ὡς γὰρ νέφος ἀπελαύνεται   ὑπ' ἀνέμου διωχθέν,
τοῦ ἡλίου δὲ μετέπειτα   καταλάμπουσιν αὐγαί,
οὕτω καὶ ἡ δουλεία   παρελεύσεται αὕτη
καὶ ἡ ἐλευθερία   ἡ ἐμὴ ἀναλάμψει.
Πᾶσα ἡ γῆ   Αἰγύπτου δουλεύσει μοι
τῷ ἡδοναῖς   αἰσχραῖς μὴ δουλεύοντι·
τοῦτο γάρ μοι   προεμήνυσε πάλαι
ὁ προειδὼς   τὰ ἐσόμενα μόνος,
ὅτι πάντα ἐφορᾷ   τὸ ἀκοίμητον ὄμμα. »

ιγ′

Ὡς ἀκήκοε ταῦτα   προσλαλοῦντος τοῦ νέου,
καὶ πάλιν κολακεύειν πειρᾶται
καὶ τοιαῦτά φησι πρὸς αὐτόν·   « Ὅτι δούλου τρόπους
οὐδαμῶς κέκτησαι,
δι' ἔργων τοῦτο ἔμαθον   καὶ πέπεισμαι καὶ μαρτυρῶ σοι·
καὶ γὰρ τὴν πρέπουσαν ἐλευθέρῳ   σὺ ἐξετέλεσας λειτουργίαν·
γέγονας ἐν πᾶσι τοῖς ἔργοις σου ἄμεμπτος
καὶ πρὸς τοὺς συνδούλους τοὺς σοὺς ἀκακούργητος,
ὅθεν φαίνει καταγόμενος   ἐκ γονέων εὐγενῶν·
διὰ τοῦτο καὶ ἐλήλυθας   εἰς τὰς χεῖρας τὰς ἐμὰς
ἵνα γένωμαι πλείστων   ἀγαθῶν ἀρχηγός σοι,
καὶ ἡ χώρα Αἰγύπτου   δι' ἐμοῦ σοι δουλεύσῃ·
μόνον ἐμὲ   τὴν νῦν σου δεσπόζουσαν
καὶ τὴν πρὸς σὲ   στοργὴν διασῴζουσαν

δέξαι λοιπὸν εἰς κοινὴν εὐφροσύνην,
καὶ μὴ πτοοῦ, λογιζόμενος πάλιν
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα. »

ιδ'

Μετὰ τούτους τοὺς λόγους, Ἰωσὴφ ἀντιλέγει
πρὸς τὴν ἀσελγεστάτην ἐκείνην·
« Ἀληθὲς μὲν ὃ λέγεις ἐστίν, ὅτι ῥίζης εἰμὶ
ἀγαθῆς βλάστημα·
ὡς ἄλογον δὲ βλέπω σε καὶ φεύγω σου τὴν συνουσίαν.
Ὅταν γάρ τις λογισμὸν οὐκ ἔχῃ τὸν χαλινοῦντα αὐτοῦ τὸν βίον,
δίκην ἀλογίστων κτηνῶν περιφέρεται,
καὶ εἰς ἀπρεπεῖς ἡδονὰς καταφέρεται·
διὰ τοῦτο οὐκ ἀνέχομαι τῶν φιλοσάρκων παθῶν,
ἀλλὰ τούτων τὰ σκιρτήματα δι' ἐγκρατείας κρατῶ·
μέχρι νῦν καθαρεύων ἀπὸ μύσους τοιούτου,
ἄρτι διὰ μοιχείας οὐ ῥυπῶ μου τὸ σῶμα·
ἔστι μὲν γὰρ βαρὺ καὶ ἀθέμιτον
γάμον ἀνδρὸς συλῆσαι ἀλλότριον,
μεῖζον δέ μοι καταφαίνεται κρῖμα,
εἰ τὴν εὐνὴν τοῦ δεσπότου ὑβρίσω,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα. »

ιε'

« Ἄκουσον, νεανίσκε », ἡ γυνὴ ἀπεκρίθη
πρὸς τὸν τῆς σωφροσύνης ἐργάτην.
Ὁ δεσπότης, ὡς οἶδας, ὁ σὸς καταπείθεταί μου
τῇ βουλῇ πάντοτε,
καὶ δύναμαι κακῶσαί σε καὶ πάλιν παραθέσθαι τούτῳ·
ἔχει ἐν σοὶ ἀγαθὰς ἐλπίδας ἐκ τῆς προλήψεως τῆς προτέρας·
στέργει καὶ ἐμέ, ὡς ἀεὶ σωφρονήσασαν·
μέχρι γὰρ τοῦ νῦν ἀκατάγνωστος ἔμεινα.
Τοῦ δεσπότου οὖν, ὡς εἴρηκα, πεποιθότος ἐφ' ἡμῖν,
οὐδενὸς δὲ τὸ πραττόμενον θεωροῦντος ἐπὶ γῆς,
τί δεινὸν πειθαρχῆσαι τῇ ἐμῇ παρακλήσει
ἧς οὐκ ἂν ἠξιώθης μετὰ σὰς παρακλήσεις;
Τοῖχοι ἡμᾶς πανταχόθεν καλύπτουσι,
ἄνωθεν δὲ ἡ στέγη ἐπίκειται·
μὴ οὖν φοβοῦ οὗ οὐκ ἔστι σοι φόβος,
μηδὲ πτοοῦ, ἐνθυμούμενος πάλιν
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα. »

ιϛ'

Νουθετῆσαι σπουδάζων τὴν ἀθλίαν ἐκείνην,
ὁ σώφρων Ἰωσὴφ ἀπεκρίθη·
« Μὴ συμβούλευέ μοι πονηρά, ὡς ἡ Εὔα πάλαι
τῷ Ἀδάμ· ἄπαγε·

τοῦ ξύλου γὰρ οὐ γεύσομαι τοῦ θάνατόν μοι προξενοῦντος.
Ἔχω παράδεισον τὴν ἁγνείαν πᾶσαν βλαστάνουσαν εὐωδίαν·
τί γὰρ τῆς ἁγνείας ἐστὶ θαυμαστότερον,
ἣν οἱ κατορθοῦντες ὡς ἄγγελοι λάμψουσι;
Κἂν τὴν πρᾶξιν οὐ μὴ ἴδωσιν οἱ οἰκοῦντες σὺν ἡμῖν
ὅτι ἄνθρωποι ὑπάρχουσιν μὴ ὁρῶντες τὰ κρυπτά,
ἀλλὰ τὸ συνειδός μου τὸν κατήγορον ἔχω·
εἴγε πρᾶξαι τολμήσω τὸ παράνομον ἔργον,
εἰ καὶ μηδεὶς ἐλέγξει μοιχεύσαντα,
ἔχω κριτὴν ἐλέγχου μὴ χρήζοντα,
ὅνπερ ἀεὶ ἐνθυμούμενος φρίττω,
καὶ τὰς αἰσχρὰς ἡδονὰς ἀποφεύγω,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

ιζ'

Ὅταν σοὶ δὲ πιστεύσω ὅτι τοῖχοι πανταχόθεν
καλύπτουσιν ἡμᾶς πλημμελοῦντας
καὶ οὐ βλέπει οὐδεὶς ἐπὶ γῆς ὅπερ θέλεις πρᾶξαι
σὺν ἐμοὶ ἄδικον,
τὸν βλέποντα τὰ κρύφια ποῦ φύγωμεν, εἰπέ μοι, γύναι;
Κἂν γὰρ οὐ πάρεστιν ὁ ἀνήρ σου, ἀλλ' οὐκ ἀπέστη νῦν ὁ κριτής μου·
κἂν οὐκ ἐφορᾷ με τῆς κλίνης ὁ κύριος,
ἀλλὰ ἐφορᾷ με ὁ κρίνων τὰ κρύφια.
Πῶς οὖν λάθω τὸν ἐτάζοντα τὰς καρδίας καὶ νεφρούς;
Καὶ αὐτὸς δὲ κινηθήσεται κατ' ἐμοῦ ὁ οὐρανός·
μάτην τοίχοις θαρροῦμεν τοῖς μηδὲν ὠφελοῦσιν·
στέγη ἐπουρανία τὴν μοιχείαν οὐ σκέπει·
πάντα γυμνὰ ὑπάρχει καὶ πρόδηλα
τῷ τὰ κρυπτὰ γινώσκοντι πταίσματα·
ὅθεν ἐγὼ οὐκ ἀνέχομαι πρᾶξαι
τὸ πονηρὸν ἐναντίον Κυρίου,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα. »

ιη'

Ὑπὸ τούτων τῶν λόγων ἡ μαινὰς ἐκκαυθεῖσα
τῷ σώφρονι ἐπέρχεται ἄφνω,
καὶ τὸν τούτου χιτῶνα κρατεῖ καὶ βιαίως σύρει
τὸν σεμνόν, λέγουσα
« Ἐπάκουσόν μου, φίλτατε, καὶ δεῦρο, συνομίλησόν μοι. »
Ἔνθεν καθεῖλκεν ἡ Αἰγυπτία, πάλιν ἡ Χάρις ἀνθεῖλκε τοῦτον·
αὕτη μὲν ἐβόα· « Ἐμοὶ συγκοιμήθητι »,
ἄνωθεν ἡ Χάρις· « Ἐμοὶ συγγρηγόρησον. »
Μετ' ἐκείνης ὁ διάβολος ἠγωνίζετο πικρῶς
καὶ χερσὶ σφοδρῶς κατέσφιγγε τὸν γενναῖον ἀθλητήν·
πάλιν ἡ Σωφροσύνη ἐκινεῖτο πρὸς πάλην,
λῦσαι ἐπειγομένη τὰ κρατήματα τούτων·
ἔλεγε δέ· « Ῥαγῇ τὸ ἱμάτιον,
καὶ μὴ φθαρῇ τὸ σῶμα τοῦ σώφρονος·

λήψεται γὰρ παρὰ τοῦ ἀθλοθέτου,
ὡς νικητής, ἔνδυμα ἀφθαρσίας,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα. »

ιθ'

Ἔχει στέφανον μέγαν Ἰωσὴφ ὡς ἀθλήσας
ὑπὲρ τῆς σωφροσύνης νομίμως·
τὴν γὰρ ταύτης φυλάττων στοργήν, ἀπεδύθη μᾶλλον
τὴν στολὴν ἔξωθεν,
καὶ δόξαν ἐνεδύσατο παράδοξον ὁ στεφανίτης·
τούτῳ ἐπῆλθεν ἡ Αἰγυπτία ὥσπερ ἀμπέλῳ δεινὴ ἀλώπηξ,
ὅλον μὲν τὸν βότρυν τρυγῆσαι ἐλπίζουσα,
μόνα δὲ τὰ φύλλα εὑρέθη κατέχουσα.
Ἄνω ἄγγελοι συνέχαιρον τῷ δικαίῳ Ἰωσήφ,
κάτω δαίμονες συνέκλαιον τῇ ἀδίκῳ γυναικί·
οὗτος μὲν ἐγυμνώθη τῆς ἰδίας ἐσθῆτος
ἵνα πάσας τηρήσῃ ἀβλαβεῖς τὰς αἰσθήσεις·
ἡ δὲ μαινὰς αἰσχύνην ἐνδύεται
καὶ τὴν αἰδῶ ἀσέμνως ἐκδύεται·
ὁ δὲ σοφὸς κατ' ἀξίαν τιμᾶται
ὡς ἐκφυγὼν ἁμαρτίαν μεγάλην,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

κ'

Πῶς ἀξίως ὑμνήσω πολυύμνητον ἄνδρα
τὸν κρείττονα παντὸς ἐγκωμίου ;
Ὅτι σκάφος ἐδείχθη στερρόν, καὶ ἀγρίαν ζάλην
ἡδονῶν ἔφυγε
καὶ εἰς λιμένα εὔδιον προσώρμισε τῆς σωφροσύνης·
οὗτος καὶ κάμινον κατεπάτει ἔνδον τοῦ οἴκου ἀναπτομένην·
πνεῦμα γὰρ τῆς δρόσου ἑλκύσας τῆς ἄνωθεν,
παμφάγον πυρὸς δυναστείαν κατέσβεσε.
Τοῦτό ἐστι τὸ παγκράτιον τοῦ μεγάλου Ἰωσήφ,
τοῦτό ἐστι τὸ ἐγκώμιον τοῦ γενναίου ἀθλητοῦ·
ὅπερ τότε ἐπράχθη ἐν οἰκίσκῳ λαθραίως
ᾄδεται ἐν τῷ κόσμῳ καθ' ἑκάστην ἡμέραν·
τὰ γὰρ καλὰ οὐδέποτε σβέννυνται,
κἂν πειρασμοὶ πολλοὶ περικλύζουσι·
ῥύεται γὰρ ἀπὸ τούτων ἁπάντων
ὁ λυτρωτὴς τῶν αὐτοῦ θεραπόντων,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

κα'

Οἱ συναίμονες πρώην ἐπεβούλευσαν τούτῳ
διὰ τὴν βασιλείαν φθονοῦντες,
καὶ ὁρμήσαντες κτεῖναι αὐτόν, ἐν τῇ γ[νώ]μῃ μόνῃ
τὸ κακὸν ἔστησαν·

εἰς ἔργον δὲ οὐκ ἤγαγον τὴν [ἄδι]κον σφαγὴν ἐκείνην,
αἵματι βάψαντες τὸν χιτῶνα, [ἀλ]λ' οὐχὶ βλάπτοντες τὸν φοροῦντα·
ζῶντα γὰρ αὐτὸν ὁ Θεὸς διεφύλαξεν,
εἰ καὶ ὁ πατὴρ ὡς θανέντα ὠδύρετο·
αὕτη [πά]λιν ἐπολέμησε τῷ χιτῶνι μοιχαλίς,
τὴν ψυχὴν δὲ οὐ κατέτρωσε τοῦ γενναίου στρατηγοῦ·
ἦν γὰρ ἐνδεδυμένος ἀσφαλῆ πανοπλίαν
πάσας τὰς ἑλεπόλεις τῶν παθῶν καταργοῦσαν.
Τοῦτον, πιστοί, μιμεῖσθαι σπουδάσ[ωμεν],
ὅτι καὶ νῦν ἡμῖν ἐπανίσταται
τῶν σαρκικῶν ἡδονῶν [ἡ ἀ]πάτη,
ἀλλὰ μηδεὶς ὑπὸ ταύτης ἡττάσθω,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

κβ'

Στέμμα κέκτηται θεῖον καὶ ἀοίδιμον νίκην
ὁ μέγας τῶν παθῶν αὐτοκράτωρ,
καὶ δικαίως τὴν μνήμην αὐτοῦ πανταχοῦ τιμῶσιν
οἱ πιστοὶ πάντοτε,
ὅτι οὐκ ἐκυρίευσε τοῦ σώματος ἡ ἁμαρτία·
τῆς γυναικὸς γὰρ τῆς ἀκολάστου λόγοις καὶ ἔργοις κολακευούσης
πᾶσαν μὲν ὑπόσχεσιν ἔρριψεν ἄθεσμον,
θάνατον δὲ μᾶλλον ἠγάπησεν ἔνδεσμον.
Τί δαὶ πράξω ὁ ταλαίπωρος καὶ κατάκριτος ἐγώ,
ὅτι πάντοτε συνέχει με τῆς ἁμαρτίας ἡ χείρ ;
Ὥσπερ ἡ Αἰγυπτία Ἰωσὴφ ἐπιβαίνει,
οὕτως ἕλκει με αὕτη πρὸς ἀτόπους ἐννοίας·
ἀλλὰ βοῶ πρὸς σέ, παντοδύναμε·
ῥῦσαι κἀμέ, Χριστέ, τυραννούμενον,
ἵνα σωθῶ διὰ τῆς Θεοτόκου,
ὡς Ἰωσὴφ ὁ πιστός σου θεράπων,
ὅτι πάντα ἐφορᾷ τὸ ἀκοίμητον ὄμμα.

(Κατά την έκδοση του J.GROSDIDIER DE MATONS,Romanos le Mélode,Hymnes,t.I,Paris 1964 (=Sources Chrétiennes 99), 247-293)

Ἕτερον κοντάκιον τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ εἰς τὸν νιπτῆρα, φέρον ἀκροστιχίδα τήνδε·

τοῦ ταπεινοῦ Ῥωμανοῦ ποίημα

ἦχος γ', ἰδιόμελον.

Προοίμιον I

Πάτερ ἐπουράνιε, φιλόστοργε, φιλάνθρωπε,
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

Προοίμιον II

Δεσπότου χερσὶ πόδας νιπτόμενος Ἰούδας
ὡς κλέπτης κρυφῇ γλῶσσαν ἠκόνησε δολίαν
ὁ παράνομος, Χριστὲ ὁ Θεός·
ἀλλὰ τοιαύτης ἀπανθρωπίας
λύτρωσαι τοὺς ἐν τῷ οἴκῳ τῆς Θεοτόκου ψάλλοντας·
« Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος. »

α'

Τίς ἀκούσας οὐκ ἐνάρκησεν ἢ τίς θεωρήσας οὐκ ἐτρόμασε
τὸν Ἰησοῦν δόλῳ φιλούμενον,
τὸν Χριστὸν φθόνῳ πωλούμενον, τὸν Θεὸν γνώμῃ κρατούμενον;
Ποία γῆ ἤνεγκε τὸ τόλμημα;
Ποία δὲ θάλασσα ὑπέμεινεν ὁρῶσα τὸ ἀνοσιούργημα;
Πῶς οὐρανὸς ὑπέστη, πῶς δὲ αἰθὴρ συνέστη, πῶς καὶ ὁ κόσμος ἔστη
συμφωνουμένου, πωλουμένου τότε, προδιδομένου τοῦ κριτοῦ;
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

β'

Ὅτε δόλον ἐμελέτησεν, ὅτε σοι τὸν φόνον κατεσκεύασεν
ὁ φιληθεὶς καὶ ἀθετήσας σε,
ὁ κληθεὶς καὶ καταλείψας σε, ὁ στεφθεὶς καὶ ἐνυβρίσας σε,
τότε σύ, εὔσπλαγχνε, μακρόθυμε,
δεῖξαι τῷ φονευτῇ βουλόμενος τὴν ἄφατον φιλανθρωπίαν σου,
ἔπλησας τὸν νιπτῆρα, ἔκλινας τὸν αὐχένα, γέγονας δοῦλος δούλων·
καὶ ἐπεδίδου σοι Ἰούδας πόδας ἵν' ἀποπλύνῃς, λυτρωτά.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

γ'

Ὕδασι πόδας ἀπέπλυνας τοὺς δραμόντας εἰς τὴν προδοσίαν σου,
καὶ μυστικῇ βρώσει ἐξέθρεψας
τὸν ἐχθρὸν τῆς εὐσπλαγχνίας σου καὶ γυμνὸν τῆς εὐλογίας σου·
ὕψωσας τὸν πτωχὸν χαρίσμασιν,
ηὔξησας τὸν οἰκτρὸν δωρήμασιν, ἐπλούτισας καὶ ἐμακάρισας·
ὑποταγὴν δαιμόνων, ἀπαλλαγὴν δὲ πόνων εἶχεν ἐπὶ τῆς γλώττης,
καὶ ἀντὶ τούτων πάντων διεσχίσθη καὶ οὐ κατενύγη ὁ φονεύς.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

δ'

Τίς εἶδε πόδας νιπτόμενον καὶ λακτίζειν ἤδη ἐπειγόμενον;
Τίς ἤκουσε κτῆνος θαλπόμενον
καὶ βαλεῖν κατεπειγόμενον τὸν αὐτῷ ἐπικαθήμενον;
Ἔλουεν, ἔτρεφεν ὁ Κύριος·
ἔτρεχεν, ἔβρυχεν ὁ δόλιος ὡς μονιὸς ἀνημερώτατος·
πεπληρωμένης φάτνης, ὁ ἀπηνὴς ἐξαίφνης φεύγει τὸν κεκτημένον
καὶ ὑποτίθησι τὸν νῶτον ὄντως ἵν' ἐπιβῇ ὁ Σατανᾶς.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

ε'

Ἄδικε, ἄστοργε, ἄσπονδε, πειρατά, προδότα, πολυμήχανε,
τί γέγονεν, ὅτι ἠθέτησας;
Τί ἰδὼν οὕτως ἠφρόνησας; Τί παθὼν οὕτως ἐμίσησας;
Οὐκ αὐτοῦ φίλον σε ὠνόμασεν;
Οὐκ αὐτὸς ἀδελφόν σε κέκληκε, καίτοι εἰδὼς ὅτι δεδόλωσαι;
Τὸ τῶν χρημάτων λῆμμα τὸ ἐν τῷ γλωσσοκόμῳ δέδωκε τῇ σῇ πίστει,
καὶ ἀσυνείδητος ἐν τούτοις πᾶσιν ἐφάνης ἄφνω πρὸς αὐτόν.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

ς'

Πέτρος τότε παρῃτήσατο, ὅτε ὁ μονογενὴς παρίστατο
νιπτοποδεῖν κατεπειγόμενος,
καί φησι· « Κύριε, κύριε, οὐ μὴ σὺ νίψῃς τοὺς πόδας μου. »
Ὁ νιπτὴρ ἔκειτο καὶ ἐπέπληστο,
ὁ σωτὴρ ἵστατο καὶ ἔζωστο ὁ λυτρωτὴς ὡς ἀργυρώνητος·
αἱ τῶν ἀγγέλων τάξεις ἄνωθεν κατιδοῦσαι ἔκραζον θαμβηθεῖσαι,
καὶ ὁ ἀναίσχυντος οὐκ ἐνετράπη, ἀλλ' ἐξετράπη κατ' αὐτοῦ.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

ζ'

Ἵσταντο φόβῳ οἱ πύρινοι καὶ ἐξίσταντο χοροὶ ἀόρατοι
ὁρῶντες τὸν ἀπερινόητον
γνωμικῶς κατακαμπτόμενον καὶ πηλῷ διακονούμενον.
Γαβριὴλ ἔλεγε πτοούμενος·
« Ἅγιοι ἄγγελοι, συνόμιλοι, κατίδετε καὶ καταπλάγητε·
τείνει τὸν πόδα Πέτρος καὶ ὁ ἐκ παρθένου μήτρας δέχεται καὶ ἀποπλύνει·
καὶ οὐ τὸν Πέτρον μόνον νίπτει, ἀλλὰ καὶ τὸν Ἰούδαν μετ' αὐτοῦ.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

η'

Νίπτει τὴν πλίνθον ἡ θάλασσα, ἀποπλύνει τὴν πηλὸν ἡ ἄβυσσος
καὶ οὐκ ἀναιρεῖ τούτου τὴν σύστασιν
ἀλλὰ σφίγγει τὴν ὑπόστασιν καὶ ἀποσμήχει τὴν προαίρεσιν.
Βλέπετε πόση τοῦ ποιήσαντος,
ἴδετε ποταπὴ τοῦ πλάσαντος διάθεσις περὶ τὰ πλάσματα·
κέκλινται καὶ εἱστήκει, τρέφονται καὶ παρέχει, νίπτονται καὶ ἀποσμήχει,
καὶ οὐ χωνεύονται γηΐνων πόδες ἐν ταῖς παλάμαις τοῦ πυρός.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος. »

θ'

Οὕτω μὲν ἔφη ὁ ἄγγελος, ὅτε καὶ κατεῖδέν σε τὴν ἄμπελον
τὰ ἑαυτῆς κλήματα τρέφουσαν
καὶ εἰς γῆν πᾶσαν ἐκτείνουσαν καὶ εἰς ὕψος ἐπανάγουσαν·
Πέτρος δέ, ἡ ἀρχὴ τῶν φίλων σου,
ὁ κανὼν τῶν ἀκολουθούντων σοι, ὁ στρατηγὸς τῆς φαμιλίας σου,
ἰδών σε ἐζωσμένον, ἔλεγεν ἀδημονῶν· « Σύ μου τοὺς πόδας νίπτεις ;
Οὐ μή μου νίψῃς πόδας εἰς αἰῶνας, ἡ χεὶρ ἡ πλάσασα ἐμέ.
Ἵλεως, ἵλεως, ἵλεως γενοῦ ἡμῖν,
ὁ πάντων ἀνεχόμενος καὶ πάντας ἐκδεχόμενος.

Ἐργῶδές ἐστιν, ἀλλὰ καί, μῆτερ, σθένος,
Ὅση πέφυκεν ἡ προαίρεσις, δίδου.

Τύπους ἀφεγγεῖς καὶ σκιὰς παρηγμένας,
Ὦ μῆτερ ἁγνή, τοῦ λόγου δεδορκότες
Νέον φανέντος ἐκ πύλης κεκλεισμένης,
Δοξούμενοί τε τῆς ἀληθείας φάος
Ἐπαξίως σὴν εὐλογοῦμεν γαστέρα.

Πόθου τετευχὼς καὶ θεοῦ παρουσίας
Ὁ χριστοτερπὴς λαὸς ἠξιωμένος
Νῦν ποτνιᾶται τῆς παλιγγενεσίας
Ὡς ζωοποιοῦ· τὴν χάριν δέ, παρθένε,
Νέμοις, ἄχραντε, προσκυνῆσαι τὸ κλέος.

Κανὼν εἰς τὴν κυριακὴν τοῦ Πάσχα (Πεντηκ. σελ. 2)

ἦχος α'.

ᾠδὴ α'.

Ἀναστάσεως ἡμέρα, | λαμπρυνθῶμεν λαοί·
πάσχα κυρίου, πάσχα·
ἐκ γὰρ θανάτου πρὸς ζωὴν | καὶ ἐκ γῆς πρὸς οὐρανὸν
Χριστὸς ὁ θεὸς
ἡμᾶς διεβίβασεν, | ἐπινίκιον ᾄδοντας.

Καθαρθῶμεν τὰς αἰσθήσεις | καὶ ὀψόμεθα
τῷ ἀπροσίτῳ φωτὶ
τῆς ἀναστάσεως Χριστὸν | ἐξαστράπτοντα, καὶ
«χαίρετε» φάσκοντος
τρανῶς ἀκουσόμεθα, | ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως | εὐφραινέσθωσαν,
γῆ δὲ ἀγαλλιάσθω·
ἑορταζέτω δὲ κόσμος | ὁρατός τε ἅπας
καὶ ἀόρατος·
Χριστὸς γὰρ ἐγήγερται, | εὐφροσύνη αἰώνιος.

ᾠδὴ γ'.

Δεῦτε πόμα πίωμεν καινὸν
οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον,
ἀλλ' ἀφθαρσίας πηγὴν | ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ,
ἐν ᾧ στερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτός,
οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια·
ἑορταζέτω δὲ πᾶσα κτίσις | τὴν ἔγερσιν Χριστοῦ,
ἐν ᾧ στερεούμεθα.

Χθὲς συνεθαπτόμην σοι, Χριστέ,
συνεγείρομαι σήμερον ἀναστάντι σοι·
συνεσταυρούμην σοι χθές· | αὐτός με συνδόξασον, σωτήρ,
ἐν τῇ βασιλείᾳ σου.

ᾠδὴ δ'.

Ἐπὶ τῆς θείας φυλακῆς | ὁ θεηγόρος Ἀββακοὺμ
στήτω μεθ' ἡμῶν καὶ δεικνύτω
φαεσφόρον ἄγγελον | διαπρυσίως λέγοντα·
σήμερον σωτηρία τῷ κόσμῳ,
ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Ἄρσην μὲν ὡς διανοίξας | τὴν παρθενεύουσαν νηδὺν
πέφηνε Χριστός· ὡς βροτὸς δὲ
ἀμνὸς προσηγόρευται· ἄμωμος δὲ ὡς ἄγευστος
κηλῖδος τὸ ἡμέτερον πάσχα,
καὶ ὡς θεὸς ἀληθὴς τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς | ὁ εὐλογούμενος ἡμῖν
στέφανος Χριστὸς ἑκουσίως
ὑπὲρ πάντων τέθυται | πάσχα τὸ καθαρτήριον,
καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος
δικαιοσύνης ἡμῖν ἔλαμψεν ἥλιος.

Ὁ θεοπάτωρ μὲν Δαυῒδ | πρὸ τῆς σκιώδους κιβωτοῦ
ἥλατο σκιρτῶν· | ὁ λαὸς δὲ
τοῦ θεοῦ ὁ ἅγιος, | τὴν τῶν συμβόλων ἔκβασιν
ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως,
ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

ᾠδὴ ε'.

Ὀρθρίσωμεν ὄρθρου βαθέος
καὶ ἀντὶ μύρου τὸν ὕμνον | προσοίσομεν τῷ δεσπότῃ,
καὶ Χριστὸν ὀψόμεθα | δικαιοσύνης ἥλιον,
πᾶσι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν
οἱ ταῖς τοῦ ᾅδου σειραῖς | συνεχόμενοι δεδορκότες
πρὸς τὸ φῶς ἠπείγοντο, | Χριστέ, ἀγαλλομένῳ ποδί,
πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι
τῷ προϊόντι Χριστῷ | ἐκ τοῦ μνήματος ὡς νυμφίῳ,
καὶ συνεορτάσωμεν | ταῖς φιλεόρτοις τάξεσι
πάσχα θεοῦ τὸ σωτήριον.

ᾠδὴ ϛ'.

Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς
καὶ συνέτριψας μοχλοὺς | αἰωνίους κατόχους
πεπεδημένων, Χριστέ, | καὶ τριήμερος
ὡς ἐκ κήτους Ἰωνᾶς | ἐξανέστης τοῦ τάφου.

Φυλάξας τὰ σήμαντρα σῶα, Χριστέ,
ἐξηγέρθης τοῦ τάφου, | ὁ τὰς κλεῖς τῆς παρθένου
μὴ λυμηνάμενος | ἐν τῷ τόκῳ σου,
καὶ ἀνέῳξας ἡμῖν | παραδείσου τὰς πύλας.

Σωτήρ μου τὸ ζῶν τε καὶ ἄθυτον
ἱερεῖον ὡς θεὸς | σεαυτὸν ἑκουσίως
προσαγαγὼν τῷ πατρὶ | συνανέστησας
παγγενῆ τὸν Ἀδάμ, | ἀναστὰς ἐκ τοῦ τάφου.

ᾠδὴ ζ'.

Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος
γενόμενος ἄνθρωπος
πάσχει ὡς θνητὸς | καὶ διὰ πάθους τὸ θνητὸν
ἀφθαρσίας ἐνδύει εὐπρέπειαν,
ὁ μόνος εὐλογητὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες
ὀπίσω σου ἔδραμον·
ὃν δὲ ὡς θνητὸν | μετὰ δακρύων ἐζήτουν,
προσεκύνησαν χαίρουσαι ζῶντα θεόν,
καὶ πάσχα τὸ μυστικὸν σοῖς, Χριστέ,
μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν,
ᾅδου τὴν καθαίρεσιν,
ἄλλης βιοτῆς | τῆς αἰωνίου ἀπαρχήν,
καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον,
τὸν μόνον εὐλογητὸν τῶν πατέρων
θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος
αὕτη ἡ σωτήριος
νὺξ καὶ φωταυγής, | τῆς λαμπροφόρου ἡμέρας
τῆς ἐγέρσεως οὖσα προάγγελος,
ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου
σωματικῶς πᾶσιν ἐπέλαμψεν.

ᾠδὴ η'.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,
ἡ μία τῶν σαββάτων, | ἡ βασιλὶς καὶ κυρία,
ἑορτῶν ἑορτὴ | καὶ πανήγυρίς ἐστι πανηγύρεων,
ἐν ᾗ εὐλογοῦμεν | Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος,
τῆς θείας εὐφροσύνης, | ἐν τῇ εὐσήμῳ ἡμέρᾳ
τῆς ἐγέρσεως | βασιλείας τε Χριστοῦ κοινωνήσωμεν,
ὑμνοῦντες αὐτὸν | ὡς θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, Σιών, καὶ ἴδε·
ἰδοὺ γὰρ ἥκασί σοι | θεοφεγγεῖς ὡς φωστῆρες
ἐκ δυσμῶν καὶ βορρᾶ | καὶ θαλάσσης καὶ ἑῴας τὰ τέκνα σου,
ἐν σοὶ εὐλογοῦντα | Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ παντοκράτορ καὶ λόγε καὶ πνεῦμα,
τρισὶν ἑνιζομένη | ἐν ὑποστάσεσι φύσις,
ὑπερούσιε | καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα
καὶ σὲ εὐλογοῦμεν | εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'.

Φωτίζου, φωτίζου ἡ νέα Ἱερουσαλήμ·
ἡ γὰρ δόξα κυρίου | ἐπὶ σὲ ἀνέτειλε·
χόρευε νῦν καὶ ἀγάλλου, Σιών·
σὺ δέ, ἁγνή, | τέρπου, θεοτόκε,
ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὢ θείας! ὢ φίλης! ὢ γλυκυτάτης σου φωνῆς!
μεθ' ἡμῶν ἀψευδῶς γὰρ | ἐπηγγείλω ἔσεσθαι
μέχρι τερμάτων αἰῶνος, Χριστέ·
ἣν οἱ πιστοὶ | ἄγκυραν ἐλπίδος
κατέχοντες ἀγαλλόμεθα.

Ὦ πάσχα τὸ μέγα | καὶ ἱερώτατον, Χριστέ·
ὦ σοφία καὶ λόγε | τοῦ θεοῦ καὶ δύναμις,
δίδου ἡμῖν ἐκτυπώτερον
σοῦ μετασχεῖν | ἐν τῇ ἀνεσπέρῳ
ἡμέρᾳ τῆς βασιλείας σου.

16.- ΙΩΣΗΦ Ο ΥΜΝΟΓΡΑΦΟΣ

Κανών εἰς τὴν θεοτόκον τῷ σαββάτῳ τοῦ ἀκαθίστου ὕμνου (Τριῳδ. σελ. 283).

Ἡ ἀκροστιχίς:

«Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῃ· Ἰωσήφ.»

ἦχος δ'.

ᾠδὴ α'.

Χριστοῦ βίβλον ἔμψυχον | ἐσφραγισμένην σε πνεύματι
ὁ μέγας ἀρχάγγελος, | ἁγνή, θεώμενος
ἐπεφώνει σοι· | χαῖρε, χαρᾶς δοχεῖον,
δι' ἧς τῆς προμήτορος | ἀρὰ λυθήσεται.

Ἀδὰμ ἐπανόρθωσις, | χαῖρε παρθένε θεόνυμφε,
τοῦ ᾅδου ἡ νέκρωσις· | χαῖρε πανάμωμε,
τὸ παλάτιον | τοῦ πάντων βασιλέως·
χαῖρε θρόνε πύρινε | τοῦ παντοκράτορος.

Ῥόδον τὸ ἀμάραντον, | χαῖρε, ἡ μόνη βλαστήσασα·
τὸ μῆλον τὸ εὔοσμον, | χαῖρε, ἡ τέξασα·
τὸ ὀσφράδιον | τοῦ μόνου βασιλέως·
χαῖρε, ἀπειρόγαμε, | κόσμου διάσωσμα.

Ἁγνείας θησαύρισμα, | χαῖρε, δι' ἧς ἐκ τοῦ πτώματος
ἡμῶν ἐξανέστημεν· | χαῖρε ἡδύπνοον
κρίνον, δέσποινα, | πιστοὺς εὐωδιάζον·
θυμίαμα εὔοσμον, | μύρον πολύτιμον.

ᾠδὴ γ'.

Στάχυν ἡ βλαστήσασα τὸν θεῖον
ὡς χώρα ἀνήροτος σαφῶς,
χαῖρε ἔμψυχε τράπεζα,
ἄρτον ζωῆς χωρήσασα·
χαῖρε τοῦ ζῶντος ὕδατος
πηγὴ ἀκένωτος, δέσποινα.

Δάμαλις τὸν μόσχον ἡ τεκοῦσα
τὸν ἄμωμον, χαῖρε, τοῖς πιστοῖς·
χαῖρε ἀμνὰς κυήσασα
θεοῦ ἀμνὸν τὸν αἴροντα
κόσμου παντὸς τὰ πταίσματα·
χαῖρε θερμὸν ἱλαστήριον.

Ὄρθρος φαεινός, χαῖρε, ἡ μόνη
τὸν ἥλιον φέρουσα Χριστὸν
φωτὸς κατοικητήριον,
χαῖρε τὸ σκότος λύσασα
καὶ τοὺς ζοφώδεις δαίμονας
ὁλοτελῶς ἐκμειώσασα.

Χαῖρε πύλη μόνη, ἣν ὁ λόγος
διώδευσε μόνος, ἡ μοχλοὺς
καὶ πύλας ᾅδου, δέσποινα,
τῷ τόκῳ σου συντρίψασα,
χαῖρε ἡ θεία εἴσοδος
τῶν σωζομένων, θεόνυμφε.

ᾠδὴ δ'.

Ἐν φωναῖς ᾀσμάτων πίστει
σοὶ βοῶμεν, πανύμνητε·
χαῖρε πῖον ὄρος
καὶ τετυρωμένον ἐν πνεύματι·
χαῖρε λυχνία καὶ στάμνε | μάννα φέρουσα
τὸ γλυκαῖνον
τὰ τῶν εὐσεβῶν αἰσθητήρια.

Ἱλαστήριον τοῦ κόσμου,
χαῖρε, ἄχραντε δέσποινα·
χαῖρε κλίμαξ γῆθεν
πάντας ἀνυψώσασα χάριτι·
χαῖρε ἡ γέφυρα ὄντως | ἡ μετάγουσα
ἐκ θανάτου | πάντας πρὸς ζωὴν τοὺς
ὑμνοῦντάς σε.

Οὐρανῶν ὑψηλοτέρα,
χαῖρε, γῆς, τὸ θεμέλιον
ἐν τῇ σῇ νηδύϊ,
ἄχραντε, ἀκόπως βαστάσασα·
χαῖρε κογχύλη πορφύραν | θείαν βάψασα
ἐξ αἱμάτων σου
τῷ βασιλεῖ τῶν δυνάμεων.

Νομοθέτην ἡ τεκοῦσα
ἀληθῶς, χαῖρε δέσποινα,
τὸν τὰς ἀνομίας
πάντων δωρεὰν ἐξαλείφοντα·
ἀκατανόητον βάθος, | ὕψος ἄρρητον,
ἀπειρόγαμε, | δι' ἧς ἡμεῖς ἐθεώθημεν.

Ϲὲ τὴν πλέξαϲαν τῷ κόϲμῳ
ἀχειρόπλοκον ϲτέφανον
ἀνυμνολογοῦμεν,
χαῖρέ ϲοι, παρθένε, κραυγάζοντεϲ,
τὸ φυλακτήριον πάντων | καὶ χαράκωμα
καὶ κραταίωμα | καὶ ἱερὸν καταφύγιον.

ᾠδὴ ε΄.

Ὁδὸν ἡ κυήϲαϲα
ζωῆϲ, χαῖρε, πανάμωμε,
ἡ κατακλυϲμοῦ τῆϲ ἁμαρτίαϲ
ϲώϲαϲα κόϲμον· | χαῖρε, θεόνυμφε,
ἄκουϲμα καὶ λάλημα φρικτόν·
χαῖρε ἐνδιαίτημα
τοῦ δεϲπότου τῆϲ κτίϲεωϲ.

Ἰϲχὺϲ καὶ ὀχύρωμα
ἀνθρώπων, χαῖρε, ἄχραντε,
τόπε ἁγιάϲματοϲ τῆϲ δόξηϲ,
νέκρωϲιϲ ᾅδου, | νυμφὼν ὁλόφωτε·
χαῖρε τῶν ἀγγέλων χαρμονή,
χαῖρε ἡ βοήθεια
τῶν πιϲτῶϲ δεομένων ϲου.

Πυρίμορφον ὄχημα
τοῦ λόγου, χαῖρε, δέϲποινα,
ἔμψυχε παράδειϲε, τὸ ξύλον
ἐν μέϲῳ ἔχων | ζωῆϲ τὸν κύριον,
οὗ ὁ γλυκαϲμὸϲ ζωοποιεῖ
πίϲτει τοὺϲ μετέχονταϲ
καὶ φθορᾷ ὑποκύψανταϲ.

Ῥωννύμενοι ϲθένει ϲου
πιϲτῶϲ ἀναβοῶμέν ϲοι·
χαῖρε πόλιϲ τοῦ παμβαϲιλέωϲ,
δεδοξαϲμένα | καὶ ἀξιάκουϲτα
περὶ ἧϲ λελάληνται ϲαφῶϲ·
ὄροϲ ἀλατόμητον,
χαῖρε βάθοϲ ἀμέτρητον.

Εὐρύχωρον ϲκήνωμα
τοῦ λόγου, χαῖρε ἄχραντε·
κόχλοϲ ἡ τὸν θεῖον μαργαρίτην
προαγαγοῦϲα, | χαῖρε πανθαύμαϲτε,
πάντων πρὸϲ θεὸν καταλλαγὴ
τῶν μακαριζόντων ϲε,
θεοτόκε, ἑκάϲτοτε.

ᾠδὴ ϛ΄.

Παϲτὰϲ τοῦ λόγου ἀμόλυντε,
αἰτία τῆϲ τῶν πάντων θεώϲεωϲ,
χαῖρε πανάχραντε,
τῶν προφητῶν περιήχημα,
χαῖρε τῶν ἀποϲτόλων
τὸ ἐγκαλλώπιϲμα.

Ἐκ ϲοῦ ἡ δρόϲοϲ ἀπέϲταξε
φλογμὸν πολυθεΐαϲ ἡ λύϲαϲα·
ὅθεν βοῶμέν ϲοι·
χαῖρε ὁ πόκοϲ ὁ ἔνδροϲοϲ,
ὃν Γεδεών, παρθένε, | προεθεάϲατο.

Ἰδού ϲοι χαῖρε κραυγάζομεν,
λιμὴν ἡμῖν γενοῦ θαλαττεύουϲι
καὶ ὁρμητήριον
ἐν τῷ πελάγει τῶν θλίψεων
καὶ τῶν ϲκανδάλων πάντων
τοῦ πολεμήτοροϲ.

Χαρᾶϲ αἰτία χαρίτωϲον
ἡμῶν τὸν λογιϲμὸν τοῦ κραυγά-
ζειν ϲοι·
χαῖρε ἡ ἄφλεκτοϲ
βάτοϲ, νεφέλη ὁλόφωτε,
ἡ τοὺϲ πιϲτοὺϲ ἀπαύϲτωϲ
ἐπιϲκιάζουϲα.

ᾠδὴ ζ΄.

Ἀνυμνοῦμέν ϲε | βοῶντεϲ· χαῖρε ὄχημα
ἡλίου τοῦ νοητοῦ·
ἄμπελοϲ ἀληθινὴ | τὸν βότρυν τὸν πέπειρον
ἡ γεωργήϲαϲα, | οἶνον ϲτάζοντα
τὸν τὰϲ ψυχὰϲ εὐφραίνοντα | τῶν πιϲτῶϲ ϲε δοξαζόντων.

Ἰατῆρα | τῶν ἁπάντων ἡ κυήϲαϲα,
χαῖρε θεόνυμφε·
ἡ ῥάβδοϲ ἡ μυϲτικὴ | ἄνθοϲ τὸ ἀμάραντον
ἡ ἐξανθήϲαϲα, | χαῖρε δέϲποινα,
δι' ἧϲ χαρᾶϲ πληρούμεθα | καὶ ζωὴν κληρονομοῦμεν.

Ῥητορεύουϲα | οὐ ϲθένει γλῶϲϲα, δέϲποινα,
ὑμνολογῆϲαί ϲε·

ὑπὲρ γὰρ τὰ Σεραφὶμ | ὑψώθης κυήσασα
τὸν βασιλέα Χριστόν, | ὃν ἱκέτευε
πάσης νῦν βλάβης ῥύσασθαι | τοὺς πιστῶς σε προσκυνοῦντας.

Εὐφημεῖ σε | μακαρίζοντα τὰ πέρατα
καὶ πόθῳ κράζει σοι·
χαῖρε ὁ τόμος, ἐν ᾧ | δακτύλῳ ἐγγέγραπται
πατρὸς ὁ λόγος, ἁγνή, | ὃν ἱκέτευε
βίβλῳ ζωῆς τοὺς δούλους σου | καταγράψαι, θεοτόκε.

Ἱκετεύομεν | οἱ δοῦλοί σου καὶ κλίνομεν
γόνυ καρδίας ἡμῶν·
κλῖνον τὸ οὖς σου, ἁγνή, | καὶ σῶσον τοὺς θλίψεσι
βυθιζομένους ἡμᾶς, | καὶ συντήρησον
πάσης ἐχθρῶν ἁλώσεως | τὴν σὴν πόλιν, θεοτόκε.

ᾠδὴ η'.

Νηδύι τὸν λόγον ὑπεδέξω,
τὸν πάντα βαστάζοντα ἐβάστασας·
γάλακτι ἐξέθρεψας | νεύματι τὸν τρέφοντα
τὴν οἰκουμένην ἅπασαν, | ἁγνή, ᾧ ψάλλομεν·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Μωσῆς κατενόησεν ἐν βάτῳ
τὸ μέγα μυστήριον τοῦ τόκου σου·
παῖδες προεικόνισαν | τοῦτο ἐμφανέστατα
μέσον πυρὸς ἱστάμενοι | καὶ μὴ φλεγόμενοι,
ἀκήρατε ἁγία παρθένε·
ὅθεν σε ὑμνοῦμεν | εἰς πάντας τοὺς αἰῶνας.

Οἱ πρῴην ἀπάτῃ γυμνωθέντες
στολὴν ἀφθαρσίας ἐνεδύθημεν
τῇ κυοφορίᾳ σου· | καὶ οἱ καθεζόμενοι
ἐν σκότει παραπτώσεων | φῶς κατωπτεύσαμεν,
φωτὸς κατοικητήριον, κόρη·
ὅθεν σε ὑμνοῦμεν | εἰς πάντας τοὺς αἰῶνας.

Νεκροὶ διὰ σοῦ ζωοποιοῦνται·
ζωὴν γὰρ τὴν ἐνυπόστατον ἐκύησας·
εὔλαλοι οἱ ἄλαλοι | πρῴην χρηματίζοντες,
λεπροὶ ἀποκαθαίρονται, | νόσοι διώκονται,
πνευμάτων ἀερίων τὰ πλήθη
ἥττηνται, παρθένε, | βροτῶν ἡ σωτηρία.

Ἡ κόσμῳ τεκοῦσα σωτηρίαν,
δι' ἧς ἀπὸ γῆς εἰς ὕψος ἤρθημεν,
χαίροις παντευλόγητε, | σκέπη καὶ κραταίωμα,
τεῖχος καὶ ὀχύρωμα | τῶν μελῳδούντων, ἁγνή·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'.

Ἵνα σοι πιστοὶ | τὸ χαῖρε κραυγάζωμεν
οἱ διὰ σοῦ τῆς χαρᾶς
μέτοχοι γενόμενοι | τῆς ἀϊδίου, | ῥῦσαι ἡμᾶς πειρασμοῦ,
βαρβαρικῆς ἁλώσεως | καὶ πάσης ἄλλης πληγῆς
διὰ πλῆθος, κόρη, παραπτώσεων
ἐπιούσης βροτοῖς ἁμαρτάνουσιν.

Ὤφθης φωτισμὸς | ἡμῶν καὶ βεβαίωσις,
ὅθεν βοῶμέν σοι·
χαῖρε ἄστρον ἄδυτον | εἰσάγον κόσμῳ | τὸν μέγαν ἥλιον·
χαῖρε Ἐδὲμ ἀνοίξασα | τὴν κεκλεισμένην, ἁγνή·
χαῖρε στύλε πύρινε, εἰσάγουσα
εἰς τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον.

Στῶμεν εὐλαβῶς | ἐν οἴκῳ θεοῦ ἡμῶν
καὶ ἐκβοήσωμεν·
χαῖρε κόσμου δέσποινα· | χαῖρε Μαρία, | κυρία πάντων ἡμῶν·
χαῖρε ἡ μόνη ἄμωμος | ἐν γυναιξὶ καὶ καλή·
χαῖρε σκεῦος, μύρον τὸ ἀκένωτον
ἐπὶ σὲ κενωθὲν εἰσδεξάμενον.

Ἡ περιστερὰ | ἡ τὸν ἐλεήμονα
ἀποκυήσασα,
χαῖρε ἀειπάρθενε· | ὁσίων πάντων | χαῖρε τὸ καύχημα,
τῶν ἀθλητῶν στεφάνωμα· | χαῖρε ἁπάντων τε
τῶν δικαίων θεῖον ἐγκαλλώπισμα
καὶ ἡμῶν τῶν πιστῶν τὸ διάσωσμα.

Φεῖσαι ὁ θεὸς | τῆς κληρονομίας σου,
τὰς ἁμαρτίας ἡμῶν
πάσας παραβλέπων νῦν, | εἰς τοῦτο ἔχων | ἐκδυσωποῦσάν σε
τὴν ἐπὶ γῆς ἀσπόρως σε | κυοφορήσασαν,
διὰ μέγα ἔλεος θελήσαντα
μορφωθῆναι, Χριστέ, τὸ ἀλλότριον.

17.- ΥΜΝΟΛΟΓΙΚΑ ΔΙΑΦΟΡΑ

ΚΑCCΙΑΝΗC ΜΟΝΑΧΗC

Ἰδιόμελον εἰc τὴν μεγάλην Τετάρτην (Τριῳδ. cελ. 360)

ἦχος πλ. δ'.

Κύριε, | ἡ ἐν πολλαῖc ἁμαρτίαιc περιπεcοῦcα γυνή,
  τὴν cὴν | αἰcθομένη θεότητα,
  μυροφόρου ἀναλαβοῦcα τάξιν,
  ὀδυρομένη μύρον cοι | πρὸ τοῦ ἐνταφιαcμοῦ κομίζει·
οἴμοι! λέγουcα, | ὅτι νύξ μοι ὑπάρχει,
  οἶcτρος ἀκολαcίαc | ζοφώδηc τε καὶ ἀcέληνοc,
  ἔρωc τῆc ἁμαρτίαc·
δέξαι μου τὰc πηγὰc τῶν δακρύων
  ὁ νεφέλαιc διεξάγων | τῆc θαλάccηc τὸ ὕδωρ·
κάμφθητί μοι | πρὸc τοὺc cτεναγμοὺc τῆc καρδίαc
  ὁ κλίναc τοὺc οὐρανοὺc | τῇ ἀφράcτῳ cου κενώcει·
καταφιλήcω τοὺc ἀχράντουc cου πόδαc,
  ἀποcμήξω τούτουc δὲ πάλιν
    τοῖc τῆc κεφαλῆc μου βοcτρύχοιc·
ὧν ἐν τῷ παραδείcῳ Εὔα τὸ δειλινὸν
  κρότον τοῖc ὠcὶν ἠχηθεῖcα | τῷ φόβῳ ἐκρύβη·
ἁμαρτιῶν μου τὰ πλήθη | καὶ κριμάτων cου ἀβύccουc
  τίc ἐξιχνιάcει, ψυχοcῶcτα cωτήρ μου;
μή με τὴν cὴν δούλην παρίδῃc
  ὁ ἀμέτρητον ἔχων τὸ ἔλεοc.

Ἰδιόμελον εἰc μνήμην τῆc ἁγίαc Μαρίνηc (Ἰουλ. 17)

ἦχος γ'.

Τὴν νοητὴν χελιδόνα καὶ ὡραιοτάτην τρυγόνα,
  τὴν ἁγνὴν περιcτερὰν,
τὴν κεχρυcωμένην ταῖc τῶν ἀρετῶν πτέρυξι,
τὴν ἀναπτᾶcαν εὐπετῶc πρὸc τὸν ἐπουράνιον νυμφίον Χριcτὸν,
Μαρίναν τὴν μάρτυρα ἀνευφημήcωμεν
  καὶ μακαρίcωμεν.

Ιδιόμελα Μ.Τετάρτης

Ἦχος α'

Σέ τόν τῆς Παρθένου Υἱόν
  πόρνη ἐπιγνοῦσα Θεόν ἔλεγεν
ἐν κλαυθμῷ δυσωποῦσα,
  ὡς δακρύων ἄξια πράξασα·
Διάλυσον τό χρέος,
  ὡς κἀγώ τούς πλοκάμους,
ἀγάπησον φιλοῦσαν
  τήν δικαίως μισουμένην
καί πλησίον τελωνῶν σε κηρύξω,
  εὐεργέτα φιλάνθρωπε.

Ὅτε ἡ ἁμαρτωλός προσέφερε τό μύρον,
  τότε ὁ μαθητής προσεφώνει τοῖς παρανόμοις.
Ἡ μέν ἔχαιρε κενοῦσα τό πολύτιμον,
  ὁ δέ ἔσπευδε πωλῆσαι τόν ἀτίμητον.
Αὕτη τόν Δεσπότην ἐπεγίνωσκεν,
  οὗτος τοῦ Δεσπότου ἐχωρίζετο.
Αὕτη ἠλευθεροῦτο
  καί ὁ Ἰούδας δοῦλος ἐγεγόνει τοῦ ἐχθροῦ.
Δεινόν ἡ ῥᾳθυμία!
  Μεγάλη ἡ μετάνοια!
Ἥν μοι δώρησαι,Σωτήρ,
  ὁ παθών ὑπέρ ἡμῶν
καί σῶσον ἡμᾶς.

Ἦχος πλ.β'

Ἡ ἀπεγνωσμένη διά τόν βίον
  καί ἐπεγνωσμένη διά τόν τρόπον,
τό μύρον βαστάζουσα
  προσῆλθέ σοι βοῶσα·
Μή με τήν πόρνην ἀπορρίψῃς
  ὁ τεχθείς ἐκ Παρθένου.
Μή μου τά δάκρυα παρίδῃς,
  ἡ χαρά τῶν Ἀγγέλων.
Ἀλλά δέξαι με μετανοοῦσαν,
  ἥν οὐκ ἀπώσω ἁμαρτάνουσαν,Κύριε,
διά τό μέγα σου ἔλεος.

Στιχηρό αυτόμελο του Αγίου Σάββα
Ἦχος πλ.α΄
Χαίροις,ἀσκητικῶν ἀληθῶς
ἀγωνισμάτων / τό εὐῶδες κειμήλιον·
σταυρόν γάρ ἐπ'ὤμων ἄρας / καί τῷ δεσπότῃ Χριστῷ
σεαυτόν,παμμάκαρ,ἀναθέμενος
σαρκός κατεπάτησας / τό χαμαίζηλον φρόνημα·
ταῖς ἀρεταῖς δέ / τήν ψυχήν κατελάμπρυνας
καί πρός ἔνθεον / ἀνεπτέρωσας ἔρωτα·
ὅθεν τήν παναγίαν σου / κυκλοῦντες,πανεύφημε,
λάρνακα,Σάββα,τῆς θείας / φιλανθρωπίας αἰτούμεθα
τυχεῖν σαῖς πρεσβείαις,
καί τῷ κόσμῳ δωρηθῆναι / τό μέγα ἔλεος.

Προσόμοιο του Αγίου Σπυρίδωνα
Χαίροις,ἀρχιερέων κανών,
τῆς Ἐκκλησίας / ἀδιάσειστον ἔρεισμα,
τό κλέος τῶν Ὀρθοδόξων,/ ἡ τῶν θαυμάτων πηγή,
τῆς ἀγάπης ῥεῖθρον μή κενούμενον·
φωστήρ ὁ πολύφωτος /τό τοῦ Πνεύματος ὄργανον,
ὁ νοῦς ὁ θεῖος / ὁ πραΰς καί ἀκέραιος,
ὁ ἁπλότητι / ἀληθεῖ καλλυνόμενος.
Ἄνθρωπε ἐπουράνιε,/ ἐπίγειε ἄγγελε,
τοῦ ἀμπελῶνος ἐργάτα, / ὁ τοῦ Χριστοῦ φίλος γνήσιος,
αὐτόν ἐκδυσώπει
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι / τό μέγα ἔλεος.

Εξαποστειλάρια της Θεοτόκου
Ἦχος γ΄
Ὁ γλυκασμός τῶν Ἀγγέλων,
τῶν θλιβομένων ἡ χαρά,
Χριστιανῶν ἡ προστάτις,
Παρθένε,Μήτηρ Κυρίου,
ἀντιλαβοῦ μου καί ῥῦσαι
τῶν αἰωνίων βασάνων.

Χρυσοπλοκώτατε πύργε
καί δωδεκάτειχε πόλις,
ἡλιοστάλακτε θρόνε,
καθέδρα τοῦ βασιλέως,

ἀκατανόητον θαῦμα,
πῶς γαλουχεῖς τόν Δεσπότην.

Εγκώμια στον Όρθρο του Μ.Σαββάτου
Στάση α΄. Ἦχος πλ. α΄

1. Ἡ ζωή ἐν τάφῳ κατετέθης, Χριστέ,
καί Ἀγγέλων στρατιαί ἐξεπλήττοντο
συγκατάβασιν δοξάζουσαι τήν σήν.

2. Ὁ ὡραῖος κάλλει παρά πάντας βροτούς
ὡς ἀνείδεος νεκρός καταφαίνεται,
ὁ τήν φύσιν ὡραΐσας τοῦ παντός.

3. Οἴμοι,φῶς τοῦ κόσμου,οἴμοι,φῶς τό ἐμόν!
Ἰησοῦ μου ποθεινότατε ἔκραζεν
ἡ Παρθένος θρηνῳδοῦσα γοερῶς.

Στάση β΄. Ἦχος πλ.α΄

1. Ἄξιόν ἐστι,μεγαλύνειν σε τόν Ζωοδότην,
τόν ἐν τῷ σταυρῷ τάς χεῖρας ἐκτείναντα
καί συντρίψαντα τό κράτος τοῦ ἐχθροῦ.

2. Ἔδυς ,Φωτουργέ,καί συνέδυ σοι τό φῶς ἡλίου·
τρόμῳ δέ ἡ κτίσις συνέχεται,
πάντων σε κηρύττουσα ποιητήν.

3. Ὄμμα τό γλυκύ καί τά χείλη σου πῶς μύσω,Λόγε;
πῶς νεκροπρεπῶς δέ κηδεύσω σε ;
φρίττων ἀνεβόα Ἰωσήφ.

Στάση γ΄. Ἦχος γ΄

1. Αἱ γενεαί πᾶσαι / ὕμνον τῇ ταφῇ σου
προσφέρουσι,Χριστέ μου.

2. Ὦ γλυκύ μου ἔαρ,/ γλυκύτατόν μου τέκνον,
ποῦ ἔδυ σου τό κάλλος;

3. Ἡ δάμαλις τόν μόσχον / ἐν ξύλῳ κρεμασθέντα
ἠλάλαζεν ὁρῶσα.

ΠΑΡΑΡΤΗΜΑ

ΥΜΝΟΓΡΑΦΙΚΑ ΜΕΛΕΤΗΜΑΤΑ

ΘΕΟΧΑΡΟΥΣ Ε. ΔΕΤΟΡΑΚΗ

ΚΛΑΣΣΙΚΑΙ ΑΠΗΧΗΣΕΙΣ
ΕΙΣ ΤΗΝ ΒΥΖΑΝΤΙΝΗΝ ΥΜΝΟΓΡΑΦΙΑΝ

ΑΝΑΤΥΠΩΣΙΣ ΕΚ ΤΟΥ *«ΛΕΙΜΩΝΟΣ»*,
ΠΡΟΣΦΟΡΑΣ ΕΙΣ ΤΟΝ ΚΑΘΗΓΗΤΗΝ Ν. Β. ΤΩΜΑΔΑΚΗΝ
[ΕΕΒΣ ΛΘ' - Μ', 1972 - 1973]



ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΓΡΑΦΕΙΟΝ ΑΔΕΛΦΩΝ ΜΥΡΤΙΔΗ
1973

ΚΛΑΣΣΙΚΑΙ ΑΠΗΧΗΣΕΙΣ ΕΙΣ ΤΗΝ ΒΥΖΑΝΤΙΝΗΝ ΥΜΝΟΓΡΑΦΙΑΝ

Διὰ τῆς παρούσης ἐργασίας, ἀφορώσης εἰς τὴν ἐπισήμανσιν κλασσικῶν τινων ἀπηχήσεων εἰς τὴν λειτουργικὴν Ὑμνογραφίαν τοῦ Βυζαντίου, ἐπιθυμῶ νὰ τιμήσω τὸν σεβαστὸν καθηγητὴν κ. Νικόλαον Β. Τωμαδάκην, εὐτυχοῦντα ἤδη ἐπὶ τῇ συμπληρώσει μακρᾶς καὶ ἐκπληκτικῶς γονίμου ἐπιστημονικῆς καὶ διδακτικῆς δράσεως.

Τὸ θέμα μου δὲν εἶναι οὔτε νέον οὔτε πρωτότυπον. Ἀπεναντίας κινδυνεύω νὰ θεωρηθῶ, ὅτι κομίζω γλαῦκα εἰς Ἀθήνας, ἐπιχειρῶν τὴν διαπραγμάτευσιν θέματος αὐταποδείκτου, διὸ καὶ ὀφείλω μίαν ἐξήγησιν. Πρόθεσίς μου δὲν εἶναι νὰ στηρίξω διὰ νέων τεκμηρίων τὴν ἀναμφισβήτητον ἄλλωστε ἐπίδρασιν τῶν ἀρχαίων συγγραφέων ἐπὶ τοὺς βυζαντινοὺς ποιητάς [1], ἀλλ᾽ ἁπλῶς νὰ ἐπισημάνω ὡρισμένας ἠχηρὰς περιπτώσεις ἐπιδράσεων, κινούμενος ἀπὸ ἁπλῆν φιλολογικὴν περιέργειαν. Ἄλλωστε καὶ ἄλλοι πρὸ ἐμοῦ ἐπεχείρησαν ἀναλόγους ἐργασίας [2].

Τὴν ἔρευνάν μου περιώρισα εἰς τὴν ἐκκλησιαστικὴν ποίησιν τοῦ Βυζαντίου, τὸ μεγαλύτερον μέρος τῆς ὁποίας εἰσῆλθεν εἰς τὰ λειτουργικὰ βιβλία τῆς ἡμετέρας Ἐκκλησίας, ἀκουόμενον μὲ τὴν παραδοθεῖσαν μουσικὴν μέχρι σήμερον. Δὲν μὲ ἀπησχόλησαν οἱ χριστιανοὶ ποιηταὶ τῶν πρώτων αἰώνων

1. Ἐκ τῆς πλουσίας σχετικῆς βιβλιογραφίας σημειῶ τὰ ἀκόλουθα βασικά: Μ. Παρανίκα, Ἡ μετρικὴ τῶν βυζαντινῶν καὶ ἰδίᾳ τῶν ὑμνογράφων τῆς ἡμετέρας Ἐκκλησίας, Ὁ ἐν Κωνσταντινουπόλει Ἑλληνικὸς Φιλολογικὸς Σύλλογος ΚΖ΄, 1900, σσ. 246-262. Ἐμμ. Παντελάκη, Αἱ ἀρχαὶ τῆς Ἐκκλησιαστικῆς ποιήσεως, περ. «Θεολογία» 16, 1938, σσ. 5-31. Ἐμμ. Πεζοπούλου, Ποικίλα προσῳδιακὰ μέτρα ἐν τῇ ἐκκλησιαστικῇ ποιήσει, ΕΕΒΣ ΙΖ΄, 1941, σσ. 286-297 (ἔνθα ἡ προσπάθεια ἀποδείξεως τῶν μετρικῶν ἐπιδράσεων ὡδήγησεν εἰς πολλὰς ὑπερβολάς). Νικ. Β. Τωμαδάκη, Κλεὶς τῆς Βυζαντινῆς Φιλολογίας, ἤτοι Εἰσαγωγὴ εἰς τὴν Βυζαντινὴν Φιλολογίαν τόμ. Α΄ Ἀθῆναι 1965³, σσ. 12 κἑξ., ἰδίᾳ σσ. 19-21, καὶ ἀλλαχοῦ passim. Τοῦ αὐτοῦ, Ἡ Βυζαντινὴ Ὑμνογραφία καὶ Ποίησις, ἤτοι Εἰσαγωγὴ εἰς τὴν Βυζαντινὴν Φιλολογίαν, τ. Β΄ Ἀθῆναι 1965³, σσ. 226-227. Π. Τρεμπέλα, Ἐκλογὴ Ἑλληνικῆς Ὀρθοδόξου Ὑμνογραφίας, Ἀθῆναι 1949, σσ. νθ΄-πζ΄.

2. Πρβλ. A. Brinkmann, Klassische Reminiscenzen ἐν Reinisches Museum für Philologie, N.F. 60, 1905, σσ. 632 κἑξ. Θ. Ξύδη, Ὁμηρικὲς ἀπηχήσεις στὴν Ὑμνογραφία, Ἀθῆναι 1950 (μετὰ πολλῶν ὑπερβολῶν). Νικ. Β. Τωμαδάκη, Ἐκ τῆς Βυζαντινῆς Ἐπιστολογραφίας· ὁ Ὅμηρος, ΕΕΦΣΠΑ ΚΑ΄, 1970-1971, σσ. 26-38. Τοῦ αὐτοῦ, Ὁ τραγικὸς Ρωμανός, ΕΕΦΣΠΑ ΚΒ΄, 1971-1972, σσ. 19-28.

(Γρηγόριος, Συνέσιος κ.ἄ.), διότι οὗτοι ἀνῆκουν κατ᾽ οὐσίαν εἰς τὴν περιοχὴν τῆς κλασσικῆς φιλολογίας μὲ τὴν προφανῆ ἀρχαιοπρέπειαν τῆς γλώσσης καὶ τοῦ ὕφους. Ἀφῆκα ὡσαύτως ἐκτὸς τῶν ἐνδιαφερόντων τῆς παρούσης ἐρεύνης τὸν Ρωμανόν, τὸ μὲν διότι ἐλάχιστον μέρος τῆς ποιήσεώς του παραμένει ἐν λειτουργικῇ χρήσει μέχρι σήμερον, τὸ δὲ διότι οἱ ἐκδόται τῆς Ἀθηναϊκῆς ἐκδόσεως τῶν Ὕμνων τοῦ μεγάλου ποιητοῦ ἠρεύνησαν εὐκαιριακῶς τὸ θέμα τῶν ἐπιδράσεων [1]. Οὕτως ἡ ἔρευνά μου περιωρίσθη κυρίως εἰς τοὺς κανόνας καὶ τὰ ποικίλα τροπάρια (στιχηρά, καθίσματα, ἐξαποστειλάρια, ἰδιόμελα, δοξαστικὰ κτλ.), ὅσα δηλ. ἐγράφησαν διὰ σκοποὺς λειτουργικούς, ἀσχέτως ἂν ταῦτα περιέχωνται εἰς τὰ ἐν χρήσει λειτουργικὰ βιβλία ἢ παραμένουν ἐκτὸς τῶν βιβλίων τούτων ἐκδεδομένα ἀλλαχοῦ.

Ὁ μελετῶν τὴν ἐκκλησιαστικὴν ταύτην ποίησιν διαπιστώνει ἀνὰ πᾶσαν σχεδὸν στιγμὴν κλασσικὰς ἀπηχήσεις ποικιλωτάτας. Μέσα εἰς τὸ χριστιανικὸν ποίημα ἀκούομεν πολλάκις νὰ ἠχῇ σαφῶς ἀρχαία φωνή, εἴτε λέξις, εἴτε φράσις, εἴτε ἐπίθετον, εἴτε σπάνιον γραμματικὸν καὶ συντακτικὸν σχῆμα [2]. Ἡ γοητεία τῆς ἀρχαίας ἑλληνικῆς λογοτεχνίας ὑπῆρξεν ἀκαταμάχητος καὶ δὲν ἦτο δυνατὸν παρὰ νὰ ἀσκήσῃ βαθείας ἐπιδράσεις εἰς τοὺς βυζαντινοὺς ποιητάς, οἱ ὁποῖοι εἶχον μετὰ τῶν κλασσικῶν κειμένων μακρὰν καὶ βαθεῖαν γνωριμίαν ἀντιγράφοντες, μελετῶντες καὶ σχολιάζοντες ταῦτα. Τὸ δόγμα δὲν ἠμπόδισε τὴν χρησιμοποίησιν τῶν ἐξωτερικῶν στοιχείων τῆς ἀρχαίας ἑλληνικῆς ποιήσεως, ἔστω καὶ ἂν κατὰ τὸ περιεχόμενον ἐξηκολούθει αὕτη νὰ θεωρῆται profana. Ἐχύθη ὁ νέος οἶνος εἰς τοὺς παλαιοὺς ἀσκούς, καθὼς ὁ χριστιανὸς ποιητὴς δὲν ἀντεῖχεν εἰς τὸν πειρασμὸν νὰ μὴ ἐγγίσῃ, ἔστω καὶ ἄκρῳ δακτύλῳ, τὰ πολυτελῆ ἐδέσματα μιᾶς πλουσίας πνευματικῆς τραπέζης.

Παρὰ ταῦτα ἡ διαπίστωσις καὶ διακρίβωσις τῶν ἐπιδράσεων δὲν εἶναι πάντοτε ἔργον εὐχερές, οὐδὲ δυνάμεθα νὰ ὑποστηρίξωμεν ἢ νὰ ἐλέγξωμεν μετὰ βεβαιότητος πάντοτε ἐπισημανθεῖσαν ἐπίδρασιν. Διότι εἶναι δυνατὸν ἐπίδρασίς τις θεωρουμένη ἄμεσος νὰ εἶναι ἔμμεσος, νὰ ἐλήφθη δηλονότι ἐκ τῶν ἔργων τῶν παλαιοτέρων χριστιανῶν ποιητῶν (Γρηγορίου, Νόννου κ.ἄ.) ἢ καὶ ἐκ τῆς χριστιανικῆς ρητορικῆς, τῆς ὁποίας οἱ ὑμνογράφοι ἔκαμνον ποικιλωτάτην χρῆσιν [3]. Ἐκτὸς τούτου ἡ γλῶσσα δὲν ἐλέγχει πάντοτε ἀρχαιομάθειαν, διότι κατὰ τοὺς βυζαντινοὺς χρόνους πολλὰ ἀπὸ τὰ στοιχεῖα τῆς ἀρχαίας γλώσσης ὑπῆρχον ἀκόμη ἐν ζώσῃ χρήσει. Ἀντιθέτως εἶναι δυνατὸν νὰ ὑπόκειται εἴς τι σημεῖον ἐπίδρασις, ἡ ὁποία νὰ μὴ γίνεται αἰσθητὴ μὲ τὰ ἰδικά

1. Πρβλ. Μ. Ναουμίδην, Ὕμνοι, τ. Γ΄, σσ. 225-226. Ὡσαύτως Νικ. Β. Τωμαδάκην, ἔνθ᾽ ἀνωτ.

2. Πρβλ. Νικ. Β. Τωμαδάκην, Ὑμνογραφία - Ποίησις, σ. 7.

3. Περὶ τοῦ θέματος τούτου, ὅσον ἀφορᾷ κυρίως εἰς τὸν Ρωμανόν, βλ. Νικ. Β. Τωμαδάκην, ἔνθ᾽ ἀνωτ., σσ. 123-125. Πρβλ. ὡσαύτως Π. Τρεμπέλαν, ἔνθ᾽ ἀνωτ., σ. 175.

μας μέτρα ἐλέγχου, δοθέντος ὅτι οἱ Βυζαντινοὶ ἦσαν ἐγγύτερον πρὸς τὸν ἀρχαῖον κόσμον καὶ εἶναι βέβαιον, ὅτι ἐγνώριζον ἔργα, τὰ ὁποῖα ἀπωλέσθησαν ὁριστικῶς δι' ἡμᾶς. Ἐν πάσῃ περιπτώσει ἡ παροῦσα ἔρευνα περιωρίσθη κατ' ἀνάγκην εἰς ὅσα γνωρίζομεν.

Τὰς ἐπισημανθείσας ἀπηχήσεις, δεῖγμα τῶν ὁποίων παρέχομεν ἐν τοῖς ἑφεξῆς, διῃρέσαμεν εἰς ὁμάδας, ἀναλόγως τῆς περιοχῆς ἐξ ἧς προέρχονται (Μυθολογία, Ὅμηρος, Τραγικοί, Λυρικοί, Πεζογράφοι).

α´) Ἀπηχήσεις ἐκ τῆς ἀρχαίας ἑλληνικῆς Μυθολογίας.

Μυθολογικὰς ἀπηχήσεις εὑρίσκομεν ἰδίᾳ εἰς τοὺς πρὸ τῶν συναξαρίων ἰαμβικοὺς τριμέτρους στίχους. Ἰδού τινα λίαν χαρακτηριστικὰ παραδείγματα:

Ὁ ὅσιος Ἄρης, ἐκ τῶν ἀσκητῶν τῆς Αἰγυπτιακῆς ἐρήμου, τιμώμενος τὴν 13ην Δεκεμβρίου, ἀνακαλεῖ εἰς τὸν ὑμνογράφον τὸν ὁμώνυμον θεὸν τοῦ πολέμου. Ἡ διαφορὰ εἶναι ὅτι ὁ μὲν εἶναι ὀργίλος, ὁ δὲ πρᾶος:

Ἄρης ὁ θεῖος οὐκ Ἄρης ἦν ὀργίλος,
πρᾶος δὲ μᾶλλον καὶ πατεῖ γῆν πραέων [1].

Ὁμοίως ὁ μάρτυς Ἡράκλειος (Ἰουλίου 14), τελειωθεὶς διὰ ξίφους, ἀνακαλεῖ τοὺς ἄθλους τοῦ Ἡρακλέους, τοὺς ὁποίους μάλιστα ὑπερβάλλει.

Εἷς ἆθλος, Ἡράκλειε, σὸς πρὸς τὸ ξίφος,
ἄθλους καλύπτει τοὺς ὅλους Ἡρακλέους [2].

Τὸν μυθικὸν Πηλέα, τὸν πατέρα τοῦ Ἀχιλλέως, ἐνθυμεῖται ὁ ἀνώνυμος στιχουργὸς δύο τριμέτρων στίχων, προκειμένου νὰ ὑμνήσῃ τὸν ἐπίσκοπον καὶ μάρτυρα Πηλέα (Σεπτεμβρίου 17):

Ἕπους ὁ Πηλεὺς ποῦ μέγας πρὸς Πηλέα
Νείλῳ συνεισβαίνοντα καὶ πυρὸς μέσον [3];

Νικόδημος ὁ Ἁγιορείτης παραβάλλει τὸν ἐπιφανῆ θεολόγον καὶ ἐπίσκοπον Ἐφέσου Μᾶρκον τὸν Εὐγενικόν, ἀδιάλλακτον ἀνθενωτικὸν κατὰ τὴν Σύνοδον τῆς Φλωρεντίας (1438-9), πρὸς τὸν μυθικὸν Ἄτλαντα, ὑποβαστάζοντα τὴν Ὀρθοδοξίαν, ὡς ἐκεῖνος τὸν οὐρανὸν εἰς τοὺς ὤμους του:

1. Σωφρ. Εὐστρατιάδου, Ἁγιολόγιον τῆς Ὀρθοδόξου Ἐκκλησίας, Ἀθῆναι [1961], σ. 54.
2. Αὐτόθι, σ. 168.
3. Στίχοι εἰς τοὺς ἁγίους Πηλέα καὶ Νεῖλον τοὺς ἐπισκόπους, τιμωμένους τὴν 17ην Σεπτεμβρίου. Πρβλ. Εὐστρατιάδην, ἔνθ' ἀνωτ., σ. 393 καὶ ἔντυπον Μηναῖον Σεπτεμβρίου 17.

Κρατεῖ μὲν Ἄτλας μυθικῶς ὤμοις πόλον,
κρατεῖ δ' ἀληθῶς Μᾶρκος Ὀρθοδοξίαν [1].

Ὑπάρχει ἅγιος μάρτυς Ὠκεανὸς (Σεπτεμβρίου 12). Εἰς τὸ σχετικὸν ἐπίγραμμα ὁ στιχουργὸς ἐνθυμεῖται τὸν μυθικὸν Ὠκεανόν:

Τὸν Ὠκεανὸν ἥλιον λαμπρὸν νόει,
εἰς ὠκεανὸν τὴν πυρὰν λελουμένον [2].

Τὴν ἀρχαίαν θεότητα τῶν τοκετῶν Εἰλείθυιαν (=Ἄρτεμιν) ὑποκατέστησεν εἰς τὴν χριστιανικὴν λαϊκὴν ἀντίληψιν ἡ μήτηρ τῆς Θεοτόκου Ἄννα, ἡ ὁποία μάλιστα θεωρεῖται ὅτι παρέχει ἀφθονίαν γάλακτος εἰς τὰς θηλαζούσας [3]. Τὴν ἀντίληψιν ἀκριβῶς ταύτην ἐκφράζει τὸ ἐπίθετον «*μογοστόκος*», τὸ ὁποῖον ἀποδίδει ὁ στιχουργὸς ἑνὸς ἡρωικοῦ ἑξαμέτρου εἰς τὴν Ἁγίαν Ἄνναν (Ἰουλίου 25):

Πέμπτῃ ἐξεβίωσε μογοστόκος εἰκάδι Ἄννα [4].

Σημειωτέον, ὅτι τὸ ἐπίθετον «μογοστόκος» σημαίνει καθ' Ἡσύχιον: «*ἡ μογοῦσα καὶ πονουμένη περὶ τοὺς τοκετούς· τουτέστιν ἡ λοχεύτρια*», ὑπὸ τὴν ἔννοιαν δὲ ταύτην ἀπαντᾷ καὶ εἰς τὸν Θεόκριτον, ὡς ἐπίθετον τῆς Ἀρτέμιδος (XXVII, 39):

ἀλλὰ τεὴ βασίλεια μογοστόκος Ἄρτεμίς ἐστιν.

β´) Ἀπηχήσεις ὁμηρικαί [5].

Τοὺς ἀνιπτόποδας καὶ χαμαιεύνας Σελλούς, ἱερεῖς τοῦ Δωδωναίου Διός, ἐνθυμεῖται ὁ ἀνώνυμος στιχουργὸς δύο ἰαμβικῶν τριμέτρων εἰς δύο Ἀσκητὰς (Ἰουνίου 20):

Ἀνιπτόσαρκοι καὶ χαμαιεῦναι δύο
ψυχὰς πλύναντες ὕψος ᾤκησαν πόλου [6].

1. Πρβλ. Εὐστρατιάδην, ἔνθ' ἀνωτ., σσ. 302-303. Καὶ L. Petit, BAG, σ. 138.
2. Αὐτόθι, σ. 482. Κατὰ τὴν ἀρχαίαν Μυθολογίαν ὁ Ὠκεανὸς εἶναι πελώριος ποταμός, ὁ ὁποῖος περιβάλλει πανταχόθεν τὴν γῆν. Εἰς τὸν ποταμὸν τοῦτον βυθίζονται ὁ ἥλιος καὶ οἱ ἀστέρες κατὰ τὴν δύσιν των. Πρβλ. Ὁμ. Θ 485-486:

ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.

3. Πρβλ. Γ. Σπυριδάκη, Ἑλληνικὴ Λαογραφία, τεῦχ. Β´, Ἀθῆναι ἄ.ἔ. (πανεπιστημιακαὶ παραδόσεις), σ. 235.
4. Ἔντυπον Μηναῖον Ἰουλίου 25. Καὶ Εὐστρατιάδου, Ἁγιολόγιον, σ. 44.
5. Πρβλ. Θ. Ξύδη, ἔνθ' ἀνωτ.
6. Πρβλ. Εὐστρατιάδου, Ἁγιολόγιον, σ. 311.

Ἰδοὺ καὶ τὸ ἀντίστοιχον ὁμηρικόν:

Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικέ, τηλόθι ναίων,
Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Σελλοὶ
σοὶ ναίουσ᾽ ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι
(Ὀμ. Π 233 - 235).

Κοσμᾶς ὁ Μαϊουμᾶ φαίνεται ὁ πλέον ἀρχαιόπληκτος τῶν ὑμνογράφων. Τοῦτο ἀντιλαμβανόμεθα καὶ δι᾽ ἁπλῆς ἀναγνώσεως τῶν κανόνων του. Δανείζεται λέξεις, φράσεις καὶ εἰκόνας ἐκ τοῦ ὁμηρικοῦ κειμένου, ὡς φαίνεται σαφῶς εἰς τὰ ἀκόλουθα παραδείγματα:

1. Εἰς τὸν εἱρμὸν εἰς τὴν Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ, ᾠδὴ ζ΄, ἡ φράσις «*πῦρ βρόμιον*» ἐλήφθη ἐκ τοῦ Ὁμήρου (Ξ 396):

οὔτε πυρὸς τόσσος γε ποτὶ βρόμος αἰθομένοιο.

2. Εἰς τὸν αὐτὸν εἱρμόν, ᾠδὴ η΄, ἡ φράσις «*λόγχην, Θεοῦ σῶμα ἀντιτορήσασαν*» εἶναι διασκευὴ τῆς ἀναλόγου ὁμηρικῆς (Ε 337):

δόρυ χροὸς ἀντετόρησεν.

3. Εἰς τὸν κανόνα εἰς τὴν Μεταμόρφωσιν (ᾠδὴ η΄, 4) ἡ φράσις: «*διὰ τῆς ἐν γνόφῳ θείας ὀμφῆς*» ἀνακαλεῖ τὴν ἀνάλογον ὁμηρικὴν (Β 41):

θείη δέ μιν ἀμφέχυτ᾽ ὀμφή.

Παρατηρητέον, ὅτι ἡ λέξις *ὀμφὴ* λέγεται μόνον ἐπὶ φωνῆς Θεοῦ.

4. Εἰς τὸν αὐτὸν κανόνα (ᾠδὴ ε΄, εἱρμὸς) παραλλάσσει τὸ ὁμηρικὸν (ε 409):

καὶ δὴ τόδε λαῖτμα διατμήξας ἐτέλεσσα

εἰς: «*Ὁ τοῦ φωτὸς διατμήξας τὸ πρωτόγονον χάος...*».
Παρατηρητέον, ὅτι αἱ λέξεις *λαῖτμα* καὶ *χάος* εἶναι συνώνυμοι.

5. Εἰς τὸν εἱρμὸν τῆς η΄ ᾠδῆς τοῦ τριῳδίου τῆς Μ. Δευτέρας, ἀναγινώσκομεν τὴν φράσιν: *καὶ εἶξε τὸ τραφὲν ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ*», ἡ ὁποία ἀποτελεῖ διασκευὴν τῆς ὁμηρικῆς (υ 123):

ἀνέκαιον δ᾽ ἐπ᾽ ἐσχάρῃ ἀκάματον πῦρ.

Παρ᾽ Ὁμήρῳ τὸ ἐπίθετον *ἀκάματος* ἀπαντᾷ ἀείποτε ὡς ἐπίθετον τοῦ πυρός. Πρβλ. Ε 4, Π 121, Σ 225, φ 181.

6. Εἰς τὸν κανόνα τῆς Μ. Πέμπτης (ᾠδὴ ζ΄, 1) ἡ φράσις: «*Νευστάζων κάραν Ἰούδας κακὰ προβλέπων ἐκίνησεν*», ἀνακαλεῖ τὴν ἀντίστοιχον τῆς ὁμηρικῆς Ὀδυσσείας (σ 153 - 154):

αὐτὰρ ὁ βῆ διὰ δῶμα φίλον τετιημένος ἦτορ,
νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμῷ.

Εἶναι χαρακτηριστικόν, ὅτι ἡ μίμησις ἐδῶ δὲν εἶναι μόνον φραστική. Καὶ αἱ εἰκόνες εἶναι ὅμοιαι καὶ ἡ ψυχολογικὴ κατάστασις τῶν προσώπων ἐπίσης. Ὁ Ἰούδας τοῦ κανόνος καὶ ὁ Ἀμφίνομος τῆς Ὀδυσσείας κινοῦν κλίνοντες τὴν κεφαλήν, προβλέποντες τὸ ἐπερχόμενον κακόν [1].

Ἀνδρέας ὁ Κρήτης εἰς τὴν ε΄ ᾠδὴν ἀναστασίμου εἱρμοῦ (Εὐστρατιάδης, Εἱρμολόγιον, σ. 86) ἐνθυμεῖται τὸ ὁμηρικὸν (Α 351):

πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνὺς

τὸ ὁποῖον διασκευάζει καὶ καταλλήλως προσαρμόζει εἰς τὴν φράσιν: «*Ὁ προφήτης χεῖράς ποτε ὀρεγνὺς ἐβόησε...*».

Ὁ φερόμενος ὡς ποιητὴς τῶν ἐν τοῖς λειτουργικοῖς βιβλίοις ἰαμβικῶν κανόνων Ἰωάννης ὁ Δαμασκηνὸς [2] τελεῖ ὑπὸ γενναίαν κλασσικὴν ἐπίδρασιν, ἡ ὁποία εἶναι ἐμφανὴς τόσον εἰς τὴν γλῶσσαν, ὅσον καὶ εἰς τὸ μέτρον. Σαφεῖς ὁμηρικὰς ἀπηχήσεις ἔχομεν εἰς τὰς ἀκολούθους περιπτώσεις:

1. Εἰς τὸν ἰαμβικὸν κανόνα τῶν Χριστουγέννων (εἱρμὸς ζ΄ ᾠδῆς) ἡ φράσις: «*πῦρ ἄσπετον*», φαίνεται ἐπηρεασμένη ἐκ τοῦ ὁμηρικοῦ στίχου (Β 455):

ἠΰτε πῦρ ἀΐδηλον ἐπιφλέγει ἄσπετον ὕλην.

2. Εἰς τὸν ἰαμβικὸν κανόνα τῶν Φώτων [3] ἡ φράσις «*φώταυγος ἐξώρουσεν*» ἐγεννήθη πιθανῶς ἐκ τῆς ὁμηρικῆς (γ 1): «*ἠέλιος δ᾽ ἀνόρουσεν*».

Εἰς ἀνώνυμον ἀναστάσιμον εἱρμὸν β΄ ἤχου (ᾠδὴ θ΄) ἔχομεν τὴν φράσιν: «*Γένος μερόπων, ἄνασσα πάγκλητε...*» (Εὐστρατιάδου, Εἱρμολόγιον, σ. 60), ἡ ὁποία ἐνθυμίζει τὴν ἀνάλογον ὁμηρικὴν (Ὕμν. XXXI, 18):

μερόπων γένος ἀνδρῶν.

Τὸ ἐν τῷ Ἀκαθίστῳ Ὕμνῳ (Τ, 252): «*Χαῖρε καλὴ κουροτρόφε παρθένων*» ἐνθυμίζει τὸ ὁμηρικὸν (ι 27): «*ἀγαθὴ κουροτρόφος*».

Τέλος εἰς ἰδιόμελον τοῦ βαρέος ἤχου τῆς Θ΄ Ὥρας τῆς Μ. Παρασκευῆς (ἔντυπον Τριῴδιον), ἡ φράσις «*Θάμβος ἦν κατιδεῖν τὸν τοῦ οὐρανοῦ καὶ γῆς ποιητὴν ἐπὶ σταυροῦ κρεμάμενον...*» ἐνθυμίζει τὸ πολλαχοῦ εἰς τὰ ὁμηρικὰ ἔπη ἀπαντώμενον: «*Θάμβος δ᾽ ἔχεν ἐσορόωντας...*» (Δ 79, γ 373 κ.ἀ.).

1. Τοῦτο παρετήρησεν ἤδη ὁ Θ. Ξύδης, ἔνθ᾽ ἀνωτ., σ. 4.

2. Εἰς τὰ λειτουργικὰ βιβλία εἰσῆλθον καὶ παρέμειναν ἐν χρήσει τρεῖς ἰαμβικοὶ κανόνες, εἰς τὰ Χριστούγεννα, τὰ Φῶτα καὶ τὴν Πεντηκοστήν. Ἐκ τούτων ὁ εἰς τὴν Πεντηκοστὴν φέρεται συνήθως ὑπὸ τὸ ὄνομα Ἰωάννου τοῦ Ἀρκλᾶ. Ἡ σχέσις του πρὸς τὸν Δαμασκηνὸν ἀμφισβητεῖται εἰσέτι. Περὶ τῶν κανόνων τούτων καὶ τῶν συναφῶν προβλημάτων βλ. Νικ. Β. Τωμαδάκη, Ὑμνογραφία - Ποίησις, σσ. 213 - 214, ἔνθα καὶ ἡ σχετικὴ βιβλιογραφία.

3. Ὁ εἱρμός, ἐν τῷ Εἱρμολογίῳ τοῦ Εὐστρατιάδου, σ. 37, φέρεται ὑπὸ τὸ ὄνομα Ἰωάννου τοῦ Ἀρκλᾶ.

γ') Ἀπηχήσεις ἐκ τῆς ἀρχαίας δραματικῆς ποιήσεως.

Ἰδιαιτέραν συμπάθειαν ἐπιδεικνύουν οἱ ὑμνογράφοι εἰς τὰ κείμενα τῶν ἀρχαίων Ἑλλήνων τραγικῶν. Τὰ κείμενα ταῦτα, ὑψηλὰ πράγματι δημιουργήματα μιᾶς πνευματικῆς ἀριστοκρατίας, ἤσκουν ἀνέκαθεν ἀκαταμάχητον γοητείαν [1]. Προφανῆ ἐπίδρασιν ἔχομεν εἰς τοὺς ἰαμβικοὺς κανόνας, ὅπου ἡ ἀρχαιοπρέπεια τῆς γλώσσης ἁμιλλᾶται πρὸς τὸ βάρος τοῦ δογματικοῦ φόρτου. Τὸ ἰαμβικὸν τρίμετρον, ἐξ ἄλλου, τῶν κανόνων τούτων εἶναι τὸ κατ' ἐξοχὴν μέτρον τῆς ἀρχαίας τραγῳδίας.

Σημειοῦμεν καὶ ἐδῶ ὡρισμένας χαρακτηριστικὰς ἐπιδράσεις.

Εἰς τὸν ὑπὸ τὸ ὄνομα Ἰωάννου τοῦ Ἀρκλᾶ φερόμενον ἰαμβικὸν κανόνα τῆς Πεντηκοστῆς ἡ κλητικὴ προσφώνησις τοῦ εἱρμοῦ τῆς α' ᾠδῆς:

Ἄναξ ἀνάκτων οἷος ἐξ οἵου μόνος

ἐσχηματίσθη προφανῶς κατ' ἐπίδρασιν ἀναλόγου προσφωνήσεως τοῦ Αἰσχύλου:

ἄναξ ἀνάκτων, μακάρων
μακάρτατε καὶ τελέων
τελειότατον κράτος, ὄλβιε Ζεῦ
(Ἱκέτ. 524 - 526).

Τοῦτο δανείζεται, μᾶλλον ἐμμέσως ἐκ τοῦ Ἀρκλᾶ, καὶ Ἀνδρέας ὁ Κρήτης εἰς τὸν Εἱρμὸν εἰς τὴν Μεσοπεντηκοστὴν (ᾠδὴ θ'), διασκευάζων εἰς:

Ἄνασσα ἀνασσῶν, μητροπάρθενον κλέος [2].

Εἰς τὸν Εὐριπίδην μᾶλλον ἢ εἰς τὸν Δαμασκηνὸν θὰ ἥρμοζον οἱ στίχοι:

Τὴν ἀγριωπὸν ἀκρατῶς γαυρουμένην
ἄσεμνα βακχεύουσαν ἐξοιστρουμένου
κόσμου καθεῖλες πανσθενῆ ἁμαρτίαν...

ὡς ἀναγινώσκομεν εἰς τὸν ἰαμβικὸν κανόνα τῶν Χριστουγέννων (ᾠδὴ ζ', 4). Ἡ εἰκὼν τῆς ἁμαρτίας, ὡς παρουσιάζεται ἐνταῦθα, ἀνακαλεῖ τὴν φοβερὰν μορφὴν τῶν Ἐρινύων, ὡς εἰκονίζει ταύτην ὁ Εὐριπίδης εἰς τὸν Ὀρέστην:

Ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας
(Εὐρ. Ὀρ. 255 - 256)

1. Τὴν ἐπίδρασίν των ὑπέστησαν καὶ οἱ κοσμικοὶ ποιηταί. Πρβλ. Στ. Κυριαζοπούλου, Ὁ Γεώργιος Πισίδης καὶ οἱ Τραγικοί, ΕΕΒΣ ΚΔ', 1954, σσ. 327 - 336.

2. Πρβλ. Εὐστρατιάδου, Εἱρμολόγιον, σ. 231.

καὶ κατωτέρω:

Ὦ Φοῖβ', ἀποκτενοῦσί μ' αἱ κυνώπιδες
γοργῶπες, ἐνέρων ἱέρειαι, δειναὶ θεαὶ
(αὐτόθι 260 - 261).

Εἰς τὸν ἰαμβικὸν κανόνα τῶν Φώτων (εἱρμὸς β' ᾠδῆς) ἡ φράσις

βορῶν λεόντων συντεθλασμένων μύλας

ἐνθυμίζει ἀνάλογον τοῦ Αἰσχύλου:

δρόσοις ἀέπτοις μαλερῶν λεόντων
(Ἀγαμέμνων 141).

Αἱ ἀνωτέρω περιπτώσεις εἶναι ἁπλῶς ἐνδεικτικαί. Χωρία ἄλλων ὕμνων εἰς τὰ ὁποῖα ἔχομεν ἐπίσης προφανῆ κλασσικὴν ἀπήχησιν εἶναι καὶ τὰ ἀκόλουθα:

1. Ἀνδρέας ὁ Κρήτης, μολονότι μετὰ πολλῆς μετριοφροσύνης ὁμιλεῖ περὶ τῆς ἀρχαιομαθείας του [1], δὲν ἀντέχει εἰς τὸν πειρασμὸν νὰ δανεισθῇ ἐκ τοῦ Ἀριστοφάνους (Ἱππῆς 967 - 969) τὴν ὡραίαν εἰκόνα:

ὡς ἁλουργίδα
ἔχων κατάπαστον καὶ στεφάνην ἐφ' ἅρματος
χρυσοῦ διώξει Σμικύθην καὶ κύριον

διὰ νὰ πλάσῃ ἀνάλογον εἰκόνα τοῦ διώκτου Φαραώ:

Βασιλικὴν ἁλουργίδα καὶ χρυσοῦν ὄχημα
καὶ λιθοκόλλητον στέφανον περικείμενος ὁ Φαραὼ
ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ κατεποντίζετο...

(Εἰς τὴν Μεγαλομάρτυρα Θέκλαν εἱρμός, ᾠδὴ α')[2]. Εἶναι χαρακτηριστικὴ ἡ σχεδὸν ἐπὶ λέξει ἀντιγραφὴ τοῦ ἀρχαίου χωρίου.

2. Κοσμᾶς ὁ Μαϊουμᾶ, εἰς τὸν εἱρμὸν τῆς η' ᾠδῆς τριῳδίου εἰς τὴν Μ. Δευτέραν (ἔντυπον Τριῴδιον), ἐπηρεάζεται ἀπὸ τὸ τοῦ Αἰσχύλου

μορφῆς δ' οὐχ ὁμόστολος φύσις
(Ἱκέτ. 505)

εἰς τὴν ἰδικήν του φράσιν

τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα.

1. Πρβλ. PG 97, 845, ἔνθα λέγει περὶ ἑαυτοῦ: «*Καί μοι συγγινωσκέτω τῶν τῇδε παρόντων... ἀπείρῳ τε ὄντι τῶν ἔξωθεν γυμνασμάτων*». Βλ. καὶ Νικ. Β. Τωμαδάκη, Ὑμνογραφία - Ποίησις, σ. 189.

2. Εὐστρατιάδου, Εἱρμολόγιον, σ. 107.

3. Γεώργιος ὁ Ἁγιοπολίτης, ποιητὴς τοῦ Θ' αἰ., ταυτιζόμενος πρὸς Γεώργιον τὸν Ἀνατολικόν [1], δανείζεται ἐκ τοῦ Εὐριπίδου τὴν θαυμασίαν εἰκόνα τοῦ ἡλίου

Ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν
καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις
Ἥλιε...

(Φοίνισσαι 1 - 3).

Τὴν εἰκόνα ταύτην προσαρμόζει εἰς τὸν Αἰγύπτιον διώκτην τῶν Ἑβραίων Φαραὼ εἰς τὴν α' ᾠδὴν ἀναστασίμου εἱρμοῦ:

Χρυσοκολλήτοις ἅρμασι γαυρούμενος Φαραὼ
φυγάδα λαὸν ἐδίωκε... [2]

4. Εἰς τὴν α' ᾠδὴν ἀναστασίμου εἱρμοῦ πλ. β' ἤχου, φερομένου ὑπὸ τὸ ὄνομα Στεφάνου τοῦ Σαββαΐτου ἀναγινώσκομεν:

Διαμείβεταί σου βουλομένου
πόντιον οἶδμα... [3]

Ἡ φράσις «*πόντιον οἶδμα*» εἶναι γνωστὴ ἐκ τῶν τραγικῶν. Πρβλ. Εὐριπ. Ἰφιγ. Αὐλ. 704: «*ἢ κατ' οἶδμα πόντιον*». Ὡσαύτως Σοφ. Ἀντ. 337 κ.ἀ.

5. Τὸ ἐφύμνιον τοῦ Ἀκαθίστου Ὕμνου «*Χαῖρε νύμφη ἀνύμφευτε*» εἶναι βεβαίως δογματικὴ ἔκφρασις. Ἐν τούτοις γλωσσικῶς φαίνεται νὰ ἐπηρεάζεται ἐκ τοῦ Εὐριπίδου (Ἑκάβη 612):

νύμφην τ' ἄνυμφον παρθένον τ' ἀπάρθενον.

6. Ὡσαύτως τὸ τοῦ ἀναστασίμου τροπαρίου «*θανάτῳ θάνατον πατήσας*» ἐνθυμίζει τὸ ἐν Σοφ. Τραχ. 885 - 886:

πρὸς θανάτῳ θάνατον
ἀνύσασα μόνα;

7. Εἰς κανόνα Εἰς τὸν ὅσιον καὶ ὁμολογητὴν Ἰάκωβον (Μαρτίου 21), φερόμενον ὑπὸ τὸ ὄνομα Ἰγνατίου (ᾠδὴ θ', 3), ἡ φράσις «*αἱ τῶν δακρύων λιβάδες*» ἐνθυμίζει ἀνάλογον τοῦ Εὐριπίδου (Ἰφιγ. Ταυρ. 1106):

ὦ πολλαὶ δακρύων λιβάδες.

1. Πρβλ. Σ. Εὐστρατιάδην, ἐν Νέᾳ Σιὼν 33, 1938, σσ. 685 - 691. Καὶ H.-G. Beck, KTL, σ. 604, ἔνθα καὶ βιβλιογραφία.
2. Εὐστρατιάδου, Εἱρμολόγιον, σ. 141.
3. Αὐτόθι, σ. 175.

8. Εἰς τὸ β' στιχηρὸν τῶν αἴνων τοῦ Μ. Βασιλείου (ἔντυπον Μηναῖον Ἰανουαρίου 1) ἡ φράσις «*αἱρετικῶν τὰ ἀπύλωτα στόματα*» ἀνακαλεῖ τὸ τοῦ Ἀριστοφάνους (Βάτρ. 838):

ἀχάλινον, ἀκρατές, ἀπύλωτον στόμα.

9. Εἰς τὸ β' κάθισμα πλ. δ' ἤχου τοῦ Ὄρθρου τῶν Χριστουγέννων (ἔντυπον Μηναῖον) τίθεται εἰς τὸ στόμα τῆς Θεοτόκου ἡ φράσις: «*ἄσπορον γονὴν τίς ἑώρακεν;*». Ἡ γλωσσικὴ διατύπωσις φαίνεται ἐδῶ ἐπηρεασμένη ἐκ τοῦ Αἰσχύλου (Πέρσαι 818):

θῖνες νεκρῶν δὲ καὶ τριτοσπόρῳ γονῇ.

δ') Ἀπηχήσεις ἐκ τῆς ἀρχαίας Λυρικῆς ποιήσεως.

Ἡ ἐπίδρασις τῆς ἀρχαίας Λυρικῆς ποιήσεως ἐπὶ τοὺς βυζαντινοὺς ὑμνογράφους φαίνεται περιωρισμένη. Ἐσημειώσαμεν πάντως τρεῖς περιπτώσεις, εἰς τὰς ὁποίας ἡ ἐπίδρασις εἶναι προφανής:

1. Ὁ τελευταῖος στίχος τῆς διὰ στίχων ἡρωελεγείων ἀκροστιχίδος τοῦ ἰαμβικοῦ κανόνος τῶν Χριστουγέννων

Ἀλλ', ἄνα, ῥητῆρας ῥύεο τῶνδε πόνων

ἀνακαλεῖ τὸν περίφημον Ὕμνον εἰς τὸν Δία τοῦ στωικοῦ Κλεάνθους (στίχ. 32 - 33, ἐκδ. Powell, Collectanea Alexandrina, σ. 228):

Ἀλλὰ Ζεῦ πάνδωρε κελαινεφὲς ἀργικέραυνε,
ἀνθρώπους ῥύου ⟨μὲν⟩ ἀπειροσύνης ἀπὸ λυγρῆς.

2. Εἰς τὸν αὐτὸν κανόνα (ᾠδὴ ζ', εἱρμός), ἡ φράσις «*ἄπλητα θυμαίνοντος*» ἐνθυμίζει τὸ τοῦ Σημωνίδου (Ἴαμβος κατὰ γυναικῶν 18 - 19, Diehl):

......ἀλλὰ μαίνεται τότε
ἄπλητον...

3. Εἰς τὸν εἱρμὸν ζ' ᾠδῆς κανόνος Εἰς τὸν Μεγαλομάρτυρα Δημήτριον, φερομένου ὑπὸ τὸ ὄνομα Κυπριανοῦ μοναχοῦ, ἡ φράσις «*Γαστὴρ ὀλοφωίου θηρός...*» [1] φαίνεται εἰλημμένη ἐκ τοῦ Θεοκρίτου (XXV, 185, ἔκδ. Gow):

ἀλλ' ἄρκτους τε σύας τε λύκων τ' ὀλοφώιον ἔθνος.

ε') Ἀπηχήσεις ἐκ τῶν πεζογράφων.

Ἡ ἀνίχνευσις ἐπιδράσεων ἐκ τῆς ἀρχαίας πεζογραφίας δὲν εἶναι εὐχερής. Ἡ ἀρχαία πεζογραφία φαίνεται νὰ ἐπηρεάζῃ τοὺς βυζαντινοὺς ὑμνογρά-

1. Ἔνθ' ἀνωτ., σ. 215.

φους μᾶλλον ἐμμέσως, διὰ τῆς βυζαντινῆς δηλονότι ρητορικῆς. Ἔχομεν ἓν πολὺ χαρακτηριστικὸν παράδειγμα.

Εἶναι λίαν συνήθης εἰς ὑμνογραφικὰ κείμενα ἡ φράσις *«τὸ κάλλος τὸ ἀμήχανον»*. Πρβλ. προχείρως: *«καθορᾶν τὸ ἀμήχανον κάλλος καὶ δεσποτικὸν»* (στιχηρὸν πλ. β' ἤχου τῶν αἴνων τῆς Κυριακῆς τῆς Τυρινῆς). *«Μόνον Θεοῦ ἐνοπτρίζεσθαι κάλλος τὸ ἀμήχανον»* (Ἰωσήφ, Κανὼν εἰς τὸν ὅσιον Ἱλαρίωνα τὸν νέον, ᾠδὴ δ', 1. Ἔντυπον Μηναῖον Μαρτίου 28). *«Τὸ κάλλος τὸ ἀμήχανον καταλαβοῦσα, πάνσεμνε»* (Θεοφάνους, Κανὼν εἰς τὴν Μαρίαν τὴν Αἰγυπτίαν, ᾠδὴ θ', 2. Ἔντυπον Μηναῖον Ἀπριλίου 1) κ.ἀ.

Ἡ φράσις λαμβάνεται ἐκ τοῦ Πλάτωνος (Συμπόσιον 218 e): *«ἀμήχανόν τοι κάλλος ὁρῴης ἂν ἐν ἐμοὶ καὶ τῆς παρὰ σοὶ εὐμορφίας πάμπολυ διαφέρον»*. Ἐν τούτοις πιθανώτερον φαίνεται νὰ γνωρίζεται ἡ φράσις ἐμμέσως, καθ' ὅσον εὕρηται καὶ εἰς ρητορικὰ ἁγιολογικὰ κείμενα. Πρβλ. Ἀνδρέου Κρήτης, Εἰς τὴν Μεταμόρφωσιν: *«Τὸ κάλλος τὸ ἀμήχανον, τὸ τῶν ἐραστῶν ἁπάντων ὑψηλότατόν τε καὶ τιμιώτατον, ὃ τοῖς ὁρῶσιν εὐφροσύνης ἀκαταπαύστου καθίσταται πρόξενον»* (PG 97, 949 A).

ς') Λέξεις σπάνιαι.

Προβαίνω ἐδῶ εἰς τὴν συναγωγὴν σπανίων τινῶν λέξεων, τὰς ὁποίας οἱ ὑμνογράφοι γνωρίζουν ἐκ τῶν κειμένων τῆς κλασσικῆς γραμματείας.

ἀναθρώσκω. Εἰς τὸν ἀόρ. β' (*ἀνέθορε*) ἀπαντᾶται τὸ ρῆμα συχνότατα εἰς τὴν ς' ᾠδὴν τῶν εἱρμῶν, ἀναφέρεται δ' εἰς τὸν Ἰωνᾶν. Πρβλ. *«ὡς ἐκ θαλάμου τοῦ θηρὸς ἀνέθορε»* (Εἱρμὸς ς' ᾠδῆς Μ. Σαββάτου).

ἄνανδρος. Ἐπὶ γυναικὸς ἀνυπάνδρου (πρβλ. Αἰσχ. Πέρσ. 289: *ἔκτισαν εὐνίδας ἠδ' ἀνάνδρους*. Ἱκέτ. 287, ὡς ἐπίθετον τῶν Ἀμαζόνων: *καὶ ἀνάνδρους κρεοβόρους Ἀμαζόνας*). Ἐν τῇ ὑμνογραφίᾳ ὡς ἐπίθετον τῆς Θεοτόκου (πρβλ. κάθισμα Χριστουγέννων: *Ἄνανδρός εἰμι καὶ πῶς τέξω υἱόν;*).

ἀπαναίνομαι. Λέξις ποιητικὴ (Ὁμ. Η 185, κ 267. Αἰσχ. Εὐμ. 972). Πρβλ. καὶ κάθισμα Ὄρθρου Μ. Πέμπτης: *«ἀπαναινόμενος Πέτρος δὲ νίπτεσθαι»*.

ἀπήμαντος. Λέξις ἐπίσης ποιητικὴ (Ὁμ. τ 282, Πινδ. Ὀλ. VIII, 87, Αἰσχ. Ἀγ. 378). Πρβλ. καὶ Κοσμᾶ, Κανὼν Χριστουγέννων, εἱρμὸς ς' ᾠδῆς: *«τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον»*.

ἀπόθετος (πολυτίμητος, τεθησαυρισμένος). Δημ. Κατὰ Νεαίρας 93. Καὶ Ἐξαποστειλάριον μάρτυρος Ἀγάθης (Φεβρ. 5): *«κάλλος ἀπόθετον»*.

βασίλεια (βασίλισσα, ἡγεμονίς). Πρβλ. Ὁμ. δ 770, Αἰσχ. Ἀγ. 84. Καὶ Κανὼν Χριστουγέννων ᾠδὴ γ', 3: *«Βηθλεὲμ εὐφραίνου, ἡγεμόνων Ἰούδα βασίλεια»*.

βιοτή. Λέξις σπανία παρὰ τοῖς Ἀττικοῖς πεζογράφοις. Πρβλ. Ὁμ. δ 565. Καὶ Δαμασκηνοῦ Κανὼν εἰς τὴν Ἀνάστασιν ᾠδὴ ζ', 2: *«ἄλλης βιοτῆς τῆς αἰωνίου ἀπαρχήν»*.

βρέτας (ξόανον, ὁμοίωμα θεοῦ). Λέξις γνωριζομένη κυρίως ἐκ τῶν τραγικῶν (Αἰσχ. Εὐμ. 80, Εὐρ. Ἄλκ. 974: *«βρέτας θεᾶς»*. Καὶ ἐν τῷ ἰαμβικῷ κανόνι τῆς Πεντηκοστῆς, εἱρμὸς ζ' ᾠδῆς: *«σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας»*.

βροτοσσόος. Λέξις σπανία. Πρβλ. Ὀρφικὰ Λ 750 (ἔκδ. Hermann). Καὶ ἐν τῷ ἰαμβικῷ κανόνι τῆς Πεντηκοστῆς, ᾠδὴ η', 1: *«Μνήμη Χριστὸς τῶν βροτοσσόων ἐπῶν»*.

δειματῶ. Πρβλ. Ἡροδ. VI, 3, Ἀριστ. Βάτρ. 144. Καὶ Κοσμᾶ, Κανὼν εἰς τὴν Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ, εἱρμὸς ζ' ᾠδῆς: *«τρεῖς παῖδας οὐκ ἐδειμάτωσε θυμὸς θηριώδης»*.

δέρκομαι. Πρβλ. Ὁμ. ε 158, Σοφ. Οἰδ. Τ. 454. Καὶ Δαμασκηνοῦ, Κανὼν εἰς τὴν Ἀνάστασιν, ᾠδὴ ε', 2: *«οἱ ταῖς τοῦ Ἅδου σειραῖς συνεχόμενοι δεδορκότες...»*.

διὰ κενῆς (ματαίως, τοῦ κάκου). Εὐρ. Τρ. 758. Θουκ. 4, 126. Καὶ Κοσμᾶ, τριῴδιον εἰς τὴν Μ. Παρασκευήν, ᾠδὴ θ', 2 (ἔντυπον Τριῴδιον): *«φωνὰς προφητῶν τε μελετῶντες διακενῆς»*.

ἐμβατεύω. Ρῆμα σύνηθες παρὰ τοῖς τραγικοῖς, σπάνιον δὲ παρὰ τοῖς πεζογράφοις. Πρβλ. Αἰσχ. Πέρσαι 449, Σοφ. Οἰδ. Τ. 679 κ.ἀ. Ὡσαύτως Κανὼν Θεοφανείων (ἔντυπον Μηναῖον Ἰανουαρίου 6), ᾠδὴ ε', 3: *«καρδίας ἐμβατεύει»*.

κευθμών. Λέξις σπανία παρὰ πεζογράφοις. Πρβλ. Ὁμ. Κ 283, Πινδ. Πυθ. IX, 60. Καὶ Δαμασκηνοῦ, Εἰς τὸν Μάρτυρα Σαββάτιον Εἱρμός, ᾠδὴ α': *«Κευθμῶνες αἰώνιοι ἀνεκαλύπτοντο»* (Εὐστρατιάδου, Εἱρμολόγιον, σ. 98).

μέθεξις. Ὅρος τῆς πλατωνικῆς φιλοσοφίας. Πρβλ. Πλάτ. Παρμ. 132 d κ.ἀ. Ἐντεῦθεν ἡ λέξις καὶ εἰς τοὺς βυζαντινοὺς ὑμνογράφους, ἰδίᾳ δὲ εἰς τὰ νεκρώσιμα τροπάρια. Πρβλ. *«τῆς σῆς γλυκείας μεθέξεως τὸν μεταστάντα ἀξίωσον»*. Στιχηρὸν νεκρώσιμον Θεοφάνους (Τρεμπέλα, Ἐκλογή, σ. 203).

νεκὰς (σωρὸς νεκρῶν). Πρβλ. Ὁμ. Ε 886 *«ἐν αἰνῇσιν νεκάδεσσιν»*. Καὶ Κανὼν εἰς τὴν Μεταμόρφωσιν, ᾠδὴ η', 3: *«Χριστέ σοι παρέστησαν... Μωϋσῆς δ' ἐκ νεκάδων»* (Ἔντυπον Μηναῖον).

ξυνὸς (κοινός). Λέξις σπανία ἀπαντῶσα δὶς παρ' Αἰσχύλῳ, δὶς παρὰ Σοφοκλεῖ, οὐδαμοῦ παρ' Εὐριπίδῃ καὶ οὐδαμοῦ ἐν τῷ Ἀττικῷ πεζῷ λόγῳ. Πρβλ. Ὁμ. Σ 309 *«Ξυνὸς Ἐνυάλιος, καί τε κτενέοντα κατέκτα»*. Καὶ Δαμασκηνοῦ Κανὼν εἰς τὸν Εὐαγγελισμόν, ᾠδὴ η', 3: *«ξυνοῦ ἐξ ἔρωτος τόκον προέρχεσθαι»*.

πέλω. Λέξις ἀποκλειστικῶς ποιητική, συνήθης εἰς τὸν Ὅμηρον καὶ τοὺς τραγικούς. Ὡσαύτως λίαν συνήθης εἰς τὴν ὑμνογραφίαν. Πρβλ. «*σὺ τῶν πιστῶν καύχημα πέλεις, ἀνύμφευτε*» (Παρακλητική, θεοτοκίον δ' ᾠδῆς ἀναστασίμου κανόνος πλ. δ' ἤχου).

πεπνυμένος. Λέξις ἐπική, ἀείποτε ἐν μεταφορικῇ χρήσει (συνετός, σώφρων). Πρβλ. Ὁμ. Γ 203, γ 52 κ.ἀ. Καὶ εἰς προεόρτιον εἱρμὸν τῶν Χριστουγέννων ᾠδὴ ζ' «*Χορευταὶ πεπνυμένοι τῆς Θεοτόκου*» (Εὐστρατιάδου, Εἱρμολόγιον, σ. 184).

τετρακτύς. Ὅρος τῆς πυθαγορείου φιλοσοφίας. Ἀπαντᾷ καὶ ἐν τῇ ὑμνογραφίᾳ. Πρβλ. Θεοδώρου τοῦ Στουδίτου, Κανὼν Εἰς τὸ Σάββατον τῶν Ἀπόκρεω, ᾠδὴ β', 3: «*τοὺς διαλυθέντας εἰς στοιχείων τετρακτὺν ἐν τῇ παρουσίᾳ σου συμπήξας ἀνάστησον*» (ἔντυπον Τριῴδιον).

ὕδειν. Τὸ ῥῆμα *ὕδω* (συνηθέστερον *ὑδέω*, ἐγκωμιάζω, ὑμνῶ) εὕρηται πρῶτον παρὰ τοῖς Ἀλεξανδρινοῖς ποιηταῖς. Πρβλ. Μέγα Λεξικὸν τῆς Ἑλληνικῆς Γλώσσης Liddell-Scott, ἐν λ. Ὡσαύτως εὕρηται ἐν τῷ ἰαμβικῷ κανόνι τῆς Πεντηκοστῆς ᾠδὴ θ', 1: «*Ὕδειν ἔοικε τὴν φυσίζωον κόρην*».

ὑφαίνω. Μεταφορικῶς, ἐν τῇ ἐννοίᾳ συντίθημι ὕμνον, ἀπαντᾶται παρὰ Πινδάρῳ Ἀπόσπ. 169: «*ὑφαίνω δ' Ἀμυθαονίδαισιν ποικίλον ἄνδημα*». Καὶ ἐν τῷ ἰαμβικῷ κανόνι τῶν Χριστουγέννων, εἱρμὸς θ' ᾠδῆς: «*ὕμνους ὑφαίνειν συντόνως τεθηγμένους...*».

ὑψιμέδων. Ἐν τῇ ἀρχαίᾳ ποιητικῇ γλώσσῃ σταθερῶς ὡς ἐπίθετον τοῦ Διός. Πρβλ. Ἡσιόδ. Θεογ. 529, Ἀριστ. Νεφ. 563. Ὡσαύτως ἐν τῇ ὑμνογραφίᾳ ὡς ἐπίθετον τοῦ Χριστοῦ εἰς ἀνώνυμον ἰαμβικὸν εἱρμὸν εἰς τὴν Χριστοῦ γέννησιν, ᾠδὴ γ': «*Ὑψιμέδων ἄναρχε εὐμενὲς Λόγε*» (Εὐστρατιάδου, Εἱρμολόγιον, σ. 8).

φαεσφόρος. Πρβλ. Αἰσχ. Ἀγ. 489: «*τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων*». Καὶ Δαμασκηνοῦ Κανὼν εἰς τὴν Ἀνάστασιν, εἱρμὸς δ' ᾠδῆς: «*φαεσφόρον ἄγγελον*».

φάσγανον. Λέξις ποιητική. Πρβλ. Ὁμ. λ 24, Αἰσχ. Ἀγ. 1162. Ὡσαύτως, στιχηρὸν τῶν αἴνων τῆς Μεγαλομάρτυρος Παρασκευῆς (Ἰουλ. 26): «*οὐρανοχάλκευτον φάσγανον*».

φερέσβιος. Πρβλ. Ὁμ. Ὕμνος εἰς Ἀπόλλωνα 341. Καὶ Κανὼν ἰαμβικὸς εἰς τὴν Πεντηκοστήν, ᾠδὴ ε', 1: «*τὸν φερέσβιον Λόγον*».

φοινίσσω, -ομαι. Τὸ ῥῆμα εἶναι γνωστὸν μόνον ἐκ τῶν τραγικῶν (Σοφ. Αἴ. 110, Εὐρ. Ὀρ. 1285 κ.ἀ.). Εἰς τὴν ὑμνογραφίαν εἶναι λίαν σύνηθες ἰδίᾳ εἰς τοὺς ὕμνους τῶν μαρτύρων. Πρβλ. «*φοινιχθεῖσα αἵματι ἀδελφοκτόνῳ γῇ*» (Τρεμπέλα, Ἐκλογή, σ. 178).

φυσίζοος. Πρβλ. Ὁμ. Γ 243: «*φυσίζοος αἶα*». Καί: «*Ὕπνωσας, Χριστέ, τὸν φυσίζωον ὕπνον*» (δ' τροπάριον τῆς β' στάσεως τῶν ἐγκωμίων τοῦ Μ. Σαββάτου).

φύτλη. Πρβλ. Πινδ. Ὀλ. IX, 81. Καὶ Κοσμᾶ, Κανὼν Χριστουγέννων, ᾠδὴ γ', 3: «*μεταδοὺς θείας φύτλης*».

χραίνω (μιαίνω, ἐπὶ ἠθικοῦ μολυσμοῦ). Πρβλ. Σοφ. Οἰδ. Τ. 822 «*λέχη τοῦ θανόντος ἐν χεροῖν ἐμαῖν χραίνω*». Καὶ Ἠλία πατριάρχου Ἱεροσολύμων, Κανὼν ἀναστάσιμος, ᾠδὴ ζ' (εἱρμός): «*πῶς ᾄσω σοι, Σιών, τὴν ᾠδήν, ἐμαυτὸν γὰρ ἔχρανα*» (Εὐστρατιάδου, Εἱρμολόγιον, σ. 89).

ὠκύμορος. Πρβλ. Ὁμ. χ 75: «*ἰοὶ ὠκύμοροι*». Καὶ Κυπριανοῦ μοναχοῦ, Εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου εἱρμός, ᾠδὴ η': «*κατασβέσασα ὠκύμορον φλόγα*».

Ἡράκλειον Κρήτης ΘΕΟΧΑΡΗΣ Ε. ΔΕΤΟΡΑΚΗΣ

ΘΕΟΧΑΡΗ Ε. ΔΕΤΟΡΑΚΗ

ΑΝΕΚΔΟΤΑ ΜΕΓΑΛΥΝΑΡΙΑ ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΑΒΒΑΤΟΥ

ΑΝΑΤΥΠΩΣΙΣ ΕΚ ΤΟΥ ΜΖ', 1987, ΤΟΜΟΥ ΤΗΣ ΕΠΕΤΗΡΙΔΟΣ ΤΗΣ
ΕΤΑΙΡΕΙΑΣ ΒΥΖΑΝΤΙΝΩΝ ΣΠΟΥΔΩΝ



ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΓΡΑΦΕΙΟΝ ΕΜΜ. ΠΑΠΑΔΑΚΗ
1989